Bodleian Libraries
UNIVERSITY OF OXFORD

This book is part of the collection held by the Bodleian Libraries
and scanned by Google, Inc. for the Google Books Library Project.

For more information see:

http://www.bodleian.ox.ac.uk/dbooks

This work is licensed under a Creative Commons Attribution-NonCommercial-ShareAlike 2.0 UK: England & Wales (CC BY-NC-SA 2.0) licence.

# EXODI PARTICVLA

ATQVE

# LEVITICVS

GRAECE

EDIDIT

E COD. MS. BIBLIOTHECAE COLLEGII

PAVLLINI LIPSIENSIS

IOH. FRID. FISCHERVS



*LIPSIAE*

EX OFFICINA SAALBACHIA

A. C. CIↃ IↃ CC LXVII

BIBLIOTHECA·BODLEIANA
DOMINUS ILLUMINATIO MEA

VIRO
MAXIME REVERENDO
# CHRISTI. THEOPH KVHNOEHL
ARTIVM LIBB. MAG. ET AD AEDEM NOVAM LIPSIAE SACRIS FACIVNDIS DIACONO OPTIME MERENTI

AFFINI SVAVISSIMO
S
IOH. FRID. FISCHERVS

Quum ego ante annos aliquot conquirere instituissem et comparare copias, quarum auxilio vterer, cum in Claue Fragmentorum Graecorum Veteris Testamenti adornanda, tum in augendis locupletandisque Hexaplorum Origenianorum Reliquiis: incidi etiam, auctoritate et beneficio Belii, Viri Illustris, Patroni certissimi et ab cupiditate omni remotissimi, in Codicem membranaceum Versionis Alexandrinae admodum antiquum, septingentos enim habere annos videtur, eundemque oppido bonum et accuratissime scriptum, quo tertius quartusque libri

 Mosis

Mosis integri continentur, et particulae quaedam secundi libri atque quinti, sed cuius margines commissa sibi ab eadem manu ostentant multis locis scholia vtilia non minus, quam reliquorum interpretum verba. In his quum vidissem multa extare, quae a Montefalconio, summo Viro, in Codicibus vetustis non reperta, neque adeo vulgata, essent: iam tum constitueram, vt prodessem studiosis diuinarum litterarum, sed supersederem labore molesto excerpendi et collegendi variantes lectiones e libris caeteris, Codicem integrum edere; praesertim quum id facile fieri per se posse ostendisset, quae est summa Viri hoc in genere humanitas et liberalitas, Belius, qui Codicem mihi e Collegii Paullini bibliotheca, cui eum nosti summa cum laude praeesse, Vir Maxime Reuerende, tradiderat, vt describerem. Sed quia multi me labores alii non ita multo post tantum non obruerant, in his emittendi libelli Theophrastei cura: editionem Codicis reseruandam putaui et differendam esse in tempus magis liberum et otiosum, certe magis idoneum et opportunum. quod quidem mihi laetus praeuidebam datum a Fortuna iri hoc anno, quo Pater meus, octogenarius Senex, celebraturus esset, perraro Coburgi exemplo, annum quinquagesimum muneris, cuius partibus, quae sane variae sunt et multiplices, eum ita fungi non ignoras, Affinis

Dulcis-

Dulcissime, vt non magnopere desideret operam aliorum vicariam. Etenim quum ei gratulatus essem, ante hos nouem annos, dignitatem Antistitis Sacrorum apud Coburgenses, edito Specimine Clauis Graecarum Versionum Testamenti Veteris: existimabam, hunc quoque Codicem recte posse a me, propter maximam vtriusque libri necessitudinem et coniunctionem, paterno nomine inscribi. Sed hoc consilium mutare me quodammodo gaudia iussere, quae mihi attulerunt nuptiarum solemnia, quas Tu, Vir Maxime Reuerende, cum sorore dulcissimae vxoris meae vnica, ornatissima virgine, hodie celebras. Neque enim opus esse intellegebam, vt precarer Tibi multis, id quod fit vulgo, faustum et felix matrimonium, quum virtus Tua omnem sibi felicitatem, omnia, etiam summa, commoda huius generis parare sponte et arcessere facile posset. Immo ponendum a me esse videbam monumentum huius necessitudinis nostrae certum et firmum, quod eam non solum nostrae aetati nuntiaret, sed etiam posteritati serae ostentaret. Hoc vero facillime me et certissime consequuturum sperabam, si Tibi particulam illius Codicis aliquam dicarem. nam vis morbi, qui adoriri nuper et infestare corpusculum meum iterum coepit, etiam ingenio ita molesta erat tum, quum haec scripsi, vt vix depromere me inde posse vide-

rem, quod ſe vel Tuae, vel aliorum, elegantiae et doctrinae probaret. Neque tamen miraberis, nihil diſſeri nunc a me de ipſo Codice eiuſque bonis et dotibus, quum hanc diſputatiunculam complexura ſit epiſtola ad Parentem, particulae Codicis alteri praemittenda: quam epiſtolam excipient fortaſſis alio tempore animaduerſiones ſeparatim edendae. Sed eo magis cogi me ſentio non ſolum laudare inſignem grauitatem Tuam, Vir Maxime Reuerende, quam certo ſcio mecum vehementer admiraturos eſſe omnes, ſed etiam praedicare ſingularem dei prouidentiam, cuius certiſſima veſtigia monſtrare nuptiae Tuae videbuntur, credo, multis. Neque enim Te fugit, quam crebro multi, etiam ſummi Viri, in ore et ſermonibus habeant contemtionem rerum humanarum, in primiſque diuitiarum; quam grauiter cohortentur, et admoneant, alios, vt diligant et admirentur virtutem, vt maxime in matrimonio ineundo probam ſanctamque inopiam anteponant copiis male quaeſitis et improbis: ſed quam leues iidem deprehendantur et inconſtantes ſaepe, ita, vt non ſolum malint ipſi ducere vxores omnibus vitiis, et animi, et corporis, contaminatiſſimas, modo beatae ſint, ferantur ſaltem, beneque dotatae et numatae, ſed acerrime etiam conquerantur de praecipiti ſcilicet ſtultitia et temeritate eorum, quos ſecus

feciſſe

fecisse cognouerint et optasse sibi vxores pauperes, sed virtutis sanctitatisque laude florentes, praesertim in iis vrbibus et locis, vbi virgines integras, et vxores castas, rariores esse auibus albis constet. Tu vero, Vir Maxime Reuerende, neglectis istorum hominum vocibus et querelis leuibus atque ineptis, sapientia duce, sequendam putasti grauitatis et constantiae laudem; qua virtute nulla facile alia magis decet et ornat sacerdotis personam et munus: legisti vxorem Tibi, non diuitiarum quidem, sed probitatis tamen et sanctitatis, dote rara ornatissimam, sororisque simillimam: qua contingere mihi, ita me deus amet, coniux neque fidelior et magis pia, neque suauior, potuisset. Adeo concordi amore nos complectimur! adeo iucundam vereque vitalem, vt verbo Ennii vtar, vitam viuimus! Sed haec ipsa grauitas Tua, Carissime Affinis, admirari me et extollere laudibus prouidentiam dei iubet, a quo virtutem parentum etiam in liberis ornari gratus intellego. Pater enim vxorum nostrarum, qui in schola Thomana, cui deus faueat! bonas nuper tertio loco docuit litteras, nullis quidem fuit opibus, vt fere omnes nostri ordinis homines, potens, sed vt ipse sanctitatis studio summo flagrauit, laudeque probitatis antiquae in primis floruit apud omnes, ita cum vxore, socru nostra, optima femina, hoc semper egit

vnice,

vnice, vt liberi ſui omnes, et filii et filiae, virtutis ſanctitatiſque ornamentis et dotibus praeſtarent: quod multo amplius et certius patrimonium putarent vel maximo numorum aureorum cumulo. Atque haec parentum pietas fructus dulces tulit vxori Tuae, Vir Maxime Reuerende, illos, quos gaudemus percipi ab ea hodie, et vt quam diutiſſime percipiantur, ardentiſſime precamur. Quae omnia quem non iubeant, atque adeo cogant, non tam ſperare, quam confidere, coniugium Veſtrum futurum eſſe fortunatiſſimum atque omnibus commodis cumulatiſſimum? Ego quidem hoc ita confido fore, vti laetus praeuideo, animos noſtros huius neceſſitudinis vinculis copulatum iri cotidie arctius, meque e Tua conſuetudine et ſermonibus Tuis, Suauiſſime Affinis, non tam capturum, quam hauſturum, eſſe ſemper, et voluptatis, et vtilitatis, quam plurimum. Vale. Scripſi Lipſiae Kal. Martiis A. C. CIↃ IↃ CC LXVII

# ΕΞΟΔΟΣ

* * * * * *
* * * * *
* * * * * *

XXXII. 17 a) Τὴν Φωνὴν τοῦ λαοῦ κραζόντων, λέγει
πρὸς Μωϋσῆν· φωνὴ πολέμου ἐν τῇ παρεμβολῇ·
18 καὶ λέγει οὐκ ἔστιν Φωνὴ ἐξαρχόντων κατισχὺν,
οὐδὲ φωνὴ ἐξαρχόντων τροπῆς· ἀλλὰ Φωνὴν ἐξαρ-
χόντων οἴνου ἐγὼ ἀκούω· 19 ἡνίκα δὲ ἤγγισεν τῇ
παρεμβολῇ, ὁρᾷ τὸν μόσχον καὶ τοὺς χορούς, καὶ
ὀργισθεὶς θυμῷ Μωϋσῆς ἔρριψεν ἀπὸ τῶν χειρῶν
αὐτοῦ τὰς δύο πλάκας, καὶ συνέτριψεν αὐτὰς ὑπὸ
τὸ ὄρος· 20 καὶ λαβὼν τὸν μόσχον ὃν ἐποίησαν, κατέ-
καυσεν αὐτὸν πυρὶ, καὶ κατήλεσεν αὐτὸν λεπτὸν, καὶ
ἔσπειρεν αὐτὸν ἐπὶ τὸ ὕδωρ, καὶ ἐπότισεν αὐτὸ τοὺς
υἱοὺς Ἰσραήλ· 21 καὶ εἶπεν Μωϋσῆς πρὸς Ἀαρών·
Τί ἐποίησέν σοι ὁ λαὸς οὗτος, ὅτι ἐπήγαγες ἐπ᾽ αὐ-
τοὺς ἁμαρτίαν μεγάλην· 22 καὶ εἶπεν Ἀαρὼν πρὸς
Μωϋσῆν· μὴ ὀργίζου κύριε· σὺ γὰρ οἶδας τὸ ὅρ-
μημα τοῦ λαοῦ τούτου· 23 λέγουσιν γάρ μοι, ποίησον
ἡμῖν θεοὺς οἳ προπορεύσονται ἡμῶν· ὁ γὰρ Μωϋ-
σῆς οὗτος ὁ ἄνθρωπος ὃς ἐξήγαγεν ἡμᾶς ἐξ Αἰγύ-
πτου, οὐκ οἴδαμεν τί γέγονεν αὐτῷ· 24 καὶ εἶπα
αὐτοῖς τίνι ὑπάρχει χρυσία, περιελέσθε· καὶ ἔδω-

a) ΟΓ ΠΕΡΙ ΑΝΕΛΟΝΤΩΝ ΕΑΥΤΟΥΣ.

κάν μοι καὶ ἔῤῥιψα εἰς τὸ πῦρ, καὶ ἐξῆλθεν ὁ
μόσχος οὗτος·
[25] Καὶ ἰδὼν Μωϋσῆς τὸν λαὸν ὅτι διεσκέδασται, διεσκέδα-
σεν γὰρ αὐτοὺς Ἀαρὼν, ἐπίχαρμα τοῖς ὑπεναντίοις
αὐτῶν· [26] ἔστη Μωϋσῆς ἐπὶ τῆς πύλης τῆς παρεμβο-
λῆς, καὶ εἶπεν· τίς πρὸς κύριον, ἤτω πρός με·
συνήλθοσαν οὖν πρὸς αὐτὸν πάντες οἱ υἱοὶ Λευῒ,
[27] καὶ λέγει αὐτοῖς· τάδε λέγει κύριος ὁ θεὸς
Ἰσραήλ· θέσθε ἕκαστος τὴν ῥομφαίαν ἑαυτοῦ ἐπὶ
τὸν μηρὸν, καὶ διέλθετε καὶ ἀνακάμψατε ἀπὸ
πύλης ἐπὶ πύλην διὰ τῆς παρεμβολῆς καὶ ἀπο-
κτείνατε ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἕκαστος
τὸν πλησίον αὐτοῦ καὶ ἕκαστος τὸν ἔγγιστα
αὐτοῦ, [28] καὶ ἐποίησαν οἱ υἱοὶ Λευῒ καθὰ
ἐλάλησεν αὐτοῖς Μωϋσῆς· καὶ ἔπεσαν ἐκ τοῦ λαοῦ τῇ
*2 *ἡμέρᾳ ἐκείνῃ εἰς τρισχιλίους ἄνδρας· [29] καὶ εἶπεν
αὐτοῖς Μωϋσῆς· ἐπληρώσατε b) τὰς χεῖρας ὑμῶν
σήμερον κυρίῳ, ἕκαστος ἐν τῷ υἱῷ, καὶ ἐν τῷ
ἀδελφῷ δοθῆναι ἐφ' ὑμᾶς εὐλογίαν· [30] καὶ
ἐγένετο μετὰ τὴν αὔριον, καὶ εἶπεν Μωϋσῆς πρὸς
τὸν λαόν· ὑμεῖς ἡμαρτήκατε ἁμαρτίαν μεγάλην,
καὶ νῦν ἀναβήσομαι πρὸς τὸν θεὸν, ἵνα ἐξιλάσω-
μαι περὶ τῆς ἁμαρτίας ὑμῶν· [31] ἐπέστρεψεν δὲ
Μωϋσῆς πρὸς κύριον, καὶ εἶπεν· δέομαι κύριε,
ἡμάρτηκεν ὁ λαὸς οὗτος, ἁμαρτίαν μεγάλην· καὶ
ἐποίησαν ἑαυτοῖς, θεοὺς χρυσοῦς· [32] καὶ νῦν, εἰ μὲν
ἀφεῖς αὐτοῖς τὴν ἁμαρτίαν αὐτῶν, ἄφες· εἰ δὲ
μὴ, ἐξάλειψόν με ἐκ τῆς βίβλου σου, ἧς ἔγρα-
ψας· [33] καὶ εἶπεν κύριος πρὸς Μωϋσῆν, ἤ
τις

b) ἀντὶ θυσίαν προσηγάγετε, ἤτοι ἡγιάσατε τὰς χεῖρας αὐ-
τῶν.

τις ἡμάρτηκεν ἐνώπιόν μȣ, ἐξαλείψω αὐτὸν ἐκ
τῆς βίβλȣ μȣ· 34 νῦν δὲ βάδιζε καὶ κατάβηθι
καὶ ὁδήγησον τὸν λαὸν τȣ̃τον εἰς τὸν τόπον ὃν
εἶπά σοι· ἰδȣ̀ ὁ ἄγγελός μȣ προπορεύσεται πρὸ
προσώπȣ σȣ· ᾗ δ' ἂν ἡμέρᾳ ἐπισκέπτωμαι, ἐπά-
ξω ἐπ' αὐτȣ̀ς τὴν ἁμαρτίαν αὐτῶν· 35 καὶ ἐπά-
ταξεν κύριος τὸν λαὸν περὶ τῆς ποιήσεως τȣ̃ μό-
σχȣ ὃν ἐποίησεν Ἀαρών·

XXXIII. 1 Καὶ εἶπεν κύριος πρὸς Μωϋσῆν· πορεύȣ
ἀνάβηθι ἐντεῦθεν, σὺ καὶ ὁ λαός σȣ, ȣ̀ς ἐξήγα-
γες ἐκ γῆς Αἰγύπτȣ εἰς τὴν γῆν ἣν ὤμοσα τῷ
Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ λέγων· τῷ
σπέρματι ὑμῶν δώσω αὐτήν· 2 καὶ συναποστελῶ
τὸν ἄγγελόν μȣ πρότερόν σȣ, καὶ ἐκβαλεῖ τὸν
Χαναναῖον, καὶ τὸν Ἀμοῤῥαῖον, καὶ τὸν Χετ-
ταῖον, καὶ Φερεζαῖον καὶ Γεργεσαῖον, καὶ Εὐαῖον,
καὶ Ἰεβȣσαῖον, 3 καὶ εἰσάξει σε εἰς γῆν ῥέȣσαν
γάλα καὶ μέλι· ȣ̓ γὰρ μὴ συναναβῶ μετὰ σȣ̃
διὰ τὸν λαὸν σκληροτράχηλόν σε εἶναι, ἵνα μὴ
ἐξαναλώσω σε ἐν τῇ ὁδῷ·
4 Καὶ ἀκȣ́σας ὁ λαὸς τὸ ῥῆμα τὸ πονηρὸν τȣ̃- ΟΔ
το, κατεπένθησαν ἐν πενθικοῖς. c) 5 καὶ εἶπεν
κύριος τοῖς υἱοῖς Ἰσραήλ· ὑμεῖς λαὸς σκληροτρά-
χηλος· ὁρᾶτε, μὴ * πληγὴν ἄλλην ἐπαγάγω ἐφ' *3
ὑμᾶς, καὶ ἐξαναλώσω d) ὑμᾶς· νῦν ȣ̓̃ν ἀφέ-
λετε e) τὰς στολὰς τῶν δοξῶν ὑμῶν, καὶ τὸν
κόσμον, καὶ δείξω σοι ἃ ποιήσεις· 6 καὶ περιεί-

 λοντο

ΟΔ ΠΕΡΙ ΤΟΥ ΠΕΝΘΟΥΣ ΤΟΥ ΛΑΟΥ.

c) καὶ ȣ̓κ ἔθηκεν ἀνὴρ κόσμον αὐτȣ̃ ἐπ' αὐτȣ̃.

d) ὀλέθρȣ. e) ἀφ' ὑμῶν.

λοντο οἱ υἱοὶ Ἰσραὴλ τὸν κόσμον αὐτῶν, καὶ τὴν
περιςολὴν, ἀπὸ τοῦ ὄρους χωρήβ· 7 καὶ λαβὼν Μωϋσῆς
ΟΕ τὴν σκηνὴν αὐτοῦ, ἔπηξεν ἔξω τῆς παρεμβολῆς,
μακρὰν ἀπὸ τῆς παρεμβολῆς, καὶ ἐκλήθη σκη-
νὴ μαρτυρίου· καὶ ἐγένετο πᾶς ὁ ζητῶν κύριον,
ἐξεπορεύετο εἰς τὴν σκηνὴν ἔξω τῆς παρεμβολῆς·
8 Ἡνίκα δ᾽ ἂν εἰσεπορεύετο Μωϋσῆς εἰς τὴν σκη-
νὴν, τὴν ἔξω τῆς παρεμβολῆς, εἱςήκει πᾶς ὁ
λαὸς σκοπεύοντες ἕκαςος παρὰ τὰς θύρας τῆς
σκηνῆς αὐτοῦ· καὶ κατενόουν ἀπιόντος Μωϋσῆ, ἕως
τοῦ εἰσελθεῖν αὐτὸν εἰς τὴν σκηνήν·
9 Ὡς δ᾽ ἂν εἰσῆλθεν Μωϋσῆς εἰς τὴν σκη-
νὴν, κατέβαινεν ὁ ςύλος τῆς νεφέλης, καὶ ἵςατο
ἐπὶ τῶν θυρῶν τῆς σκηνῆς, καὶ ἐλάλει Μωϋσῆς·
10 καὶ ἑώρα πᾶς ὁ λαὸς τὸν ςύλον τῆς νεφέλης
ἑςῶτα ἐπὶ τῶν θυρῶν τῆς σκηνῆς· καὶ ςάντες
πᾶς ὁ λαὸς, προσεκύνησαν ἕκαςος ἀπὸ τῆς θύ-
ρας τῆς σκηνῆς αὐτοῦ·
ΟΣ 11 Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν, ἐνώ-
πιος ἐνωπίῳ, ὡσεί τις λαλήσαι πρὸς ἑαυτοῦ
φίλον· καὶ ἀπελύετο εἰς τὴν παρεμβολήν· ὁ δὲ
θεράπων Ἰησοῦς υἱὸς Ναυὴ νέος, οὐκ ἐξεπορεύετο
ἐκ τῆς σκηνῆς· 12 καὶ εἶπεν Μωϋσῆς πρὸς κύ-
ριον· ἰδοὺ σύ μοι λέγεις ἀνάγαγε τὸν λαὸν τοῦ-
τον, σὺ δὲ οὐκ ἐδήλωσάς μοι, ὃν συναποςελεῖς
μετ᾽ ἐμοῦ· σὺ δέ μοι εἶπας· οἶδά σε παρὰ πάν-
τας, f) καὶ χάριν ἔχεις παρ᾽ ἐμοί. 13 εἰ οὖν
εὕρηκα

ΟΕ ΠΕΡΙ ΤΗϹ ϹΚΗΝΗϹ ΜΩΥϹΕΩϹ.

ΟΣ ΠΕΡΙ ΤΗϹ ΛΕΙΤΟΥΡΓΙΑϹ ΙΗΣΟΥ.

f) Ἐφαντάζετο τοῦ χρηματίζοντος αὐτῷ θεοῦ λόγου τὸ μέγεθος, καὶ τὴν ἀνέφικτον ὑπεροχήν. Ἑώρα δὲ, ὡς ὅτι δι᾽ ὑπηρετῶν ἀγγέλων τὰς πρὸς αὐτὸν ἐποιεῖτο θεωρίας, δι᾽ ὃ παρα-

εὕρηκα χάριν ἐναντίον σου, ἐμφάνισόν μοι σὲ
αὐτὸν, γνωστῶς ἴδω σε, ὅπως ἂν ὦ εὑρηκὼς χά-
ριν * ἐνώπιόν σου, καὶ ἵνα γνῶ, ὅτι λαός σου τὸ *4
ἔθνος τὸ μέγα τοῦτο· 14 καὶ λέγει, ἐγὼ αὐτὸς
προπορεύσομαί σου καὶ καταπαύσω σε· 15 καὶ
εἶπεν πρὸς αὐτόν· εἰ μὴ σὺ αὐτὸς συμπορεύῃ
μεθ᾽ ἡμῶν, μή με ἀναγάγῃς ἐντεῦθεν· 16 καὶ
πῶς γνωστὸν ἔσται ἀληθῶς, ὅτι εὕρηκα χάριν παρὰ
σοὶ, ἐγώ τε καὶ ὁ λαός σου, ἀλλ᾽ ἢ συμπορευ-
ομένου σου μεθ᾽ ἡμῶν, καὶ ἐνδοξασθησόμεθα
ἐγώ τε καὶ ὁ λαός σου παρὰ πάντα τὰ ἔθνη,
ὅσα ἐπὶ τῆς γῆς ἐστίν·
17 Εἶπεν δὲ κύριος πρὸς Μωϋσῆν, καὶ τοῦτόν σοι
τὸν λόγον ὃν εἴρηκας ποιήσω· εὕρηκας γὰρ
χάριν ἐνώπιόν μου, καὶ οἶδά σε παρὰ πάντας·
18 καὶ λέγει, δεῖξόν μοι τὴν σὲ αὐτοῦ δόξαν·
19 καὶ εἶπεν, ἐγὼ παρελεύσομαι πρότερόν σου τῇ
δόξῃ μου· καὶ καλέσω τῷ ὀνόματι κυρίου ἐναν-
τίον σου, καὶ ἐλεήσω ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρή-
σω, ὃν ἂν οἰκτειρῶ· 20 καὶ εἶπεν· οὐ δυνήσῃ ἰδεῖν
τὸ πρόσωπόν μου· οὐ γὰρ μὴ ἴδῃ ἄνθρωπος τὸ
πρόσωπόν μου καὶ ζήσεται· 21 καὶ εἶπεν κύριος·
ἰδοὺ τόπος παρ᾽ ἐμοὶ καὶ στήσῃ ἐπὶ τῆς πέτρας,
22 ἡνίκα δ᾽ ἂν παρέλθῃ ἡ δόξα μου, καὶ θήσω
σε εἰς ὀπὴν τῆς πέτρας καὶ σκεπάσω τῇ χειρί
μου ἐπὶ σὲ ὡς ἂν παρέλθω· 23 καὶ ἀφελῶ τὴν
χεῖρά μου, καὶ τότε ὄψῃ τὰ ὀπίσω μου, τὸ δὲ
πρόσωπόν μου οὐκ ὀφθήσεταί σοι·



παρακαλεῖ τρανότερον ὠφθῆναι ἑαυτὸν αὐτῷ, γυμνῶς, ὡς καὶ τοῖς ἀμφὶ τὸν Ἀβραὰμ παραπλησίως ἄνευ τοῦ διὰ πυρὸς καὶ νεφέλης εἴδους· τοῦτο γ᾽ οὖν σημαίνει ἡ φάσκουσα λέξις, ἐμφάνισόν μοι σεαυτὸν γνωστῶς ἴδω σε.

ΟΖ ΠΕΡΙ ΤΗΣ ΠΡΟΣ ΜΩΥΣΕΑ ΟΠΤΑΣΙΑΣ.

ΟΗ XXXIIII. 1 Καὶ εἶπεν κύριος πρὸς Μωϋσῆν· λάξευ-
σον σὲ αὐτῷ δύο πλάκας λιθίνας, καθ᾽ ὡς
αἱ πρῶται, καὶ ἀνάβηθι πρός με εἰς τὸ ὄρος,
καὶ γράψω ἐπὶ τῶν πλακῶν τὰ ῥήματα ἃ ἦν
ἐν ταῖς πλαξὶν ταῖς πρώταις, ἃς συνέτριψας,
2 καὶ γίνȣ ἕτοιμος εἰς τὸ πρωῒ καὶ ἀναβήσῃ εἰς
τὸ ὄρος τὸ σινὰ, καὶ ςήσῃ μοι ἐκεῖ ἐπ᾽ ἄκρȣ τȣ̃
ὄρȣς, 3 καὶ μηδεὶς ἀναβήτω μετὰ σȣ̃, καὶ μηδεὶς
ὀφθήτω ἐν παντὶ τῷ ὄρει· καὶ τὰ πρόβατα καὶ
*5 οἱ βόες * μὴ νεμέσθωσαν πλησίον τȣ̃ ὄρȣς ἐκείνȣ·
4 Καὶ ἐλάξευσεν δύο πλάκας λιθίνας, καθ-
άπερ καὶ αἱ πρῶται· καὶ ὀρθρίσας Μωϋσῆς τὸ
πρωῒ ἀνέβη εἰς τὸ ὄρος τὸ σινὰ καθὰ συνέτα-
ξεν αὐτῷ κύριος, καὶ ἔλαβεν Μωϋσῆς μεθ᾽ ἑαυ-
τȣ̃ τὰς δύο πλάκας τὰς λιθίνας, g) 5 καὶ
κατέβη κύριος ἐν νεφέλῃ καὶ παρέςη αὐτῷ ἐκεῖ,
καὶ ἐκάλεσεν τῷ ὀνόματι κυρίȣ· 6 καὶ παρῆλ-
θεν κύριος πρὸ προσώπȣ αὐτȣ̃, καὶ ἐκάλεσεν
κύριος, κύριος ὁ θεὸς οἰκτίρμων καὶ ἐλεήμων,
μακρόθυμος καὶ πολυέλεος καὶ ἀληθινὸς, 7 καὶ
δικαιοσύνην διατηρῶν, καὶ ποιῶν ἔλεος εἰς χιλιά-
δας· ἀφαιρῶν ἀνομίας καὶ ἁμαρτίας καὶ ἀδικίας,
καὶ τὸν ἔνοχον h) ȣ̓ καθαριεῖ: ἐπάγων ἁμαρτίας
πατέρων ἐπὶ τέκνα, καὶ ἐπὶ τέκνα τέκνων, ἐπὶ τρί-
την καὶ τετάρτην γενεάν· 8 καὶ σπεύσας Μωϋσῆς
κύψας ἐπὶ τὴν γῆν προσεκύνησεν, 9 καὶ εἶπεν· εἰ
εὕρηκα χάριν ἐνώπιόν σȣ, συμπορευθήτω κύριος
μεθ᾽

ΟΗ ΠΕΡΙ ΤΩΝ ΔΕΥΤΕΡΩΝ ΠΛΑΚΩΝ.

g) CHM° ἀναγκαῖον κατὰ Ἰȣδαίων.

h) καθαρισμῷ ȣ̓ καθαριεῖ τὸν ἔνοχον.

μεθ' ἡμῶν· ὁ λαὸς γὰρ σκληροτράχηλός ἐςιν,
καὶ ἀφελεῖς σὺ τὰς ἁμαρτίας, καὶ τὰς ἀνομίας
ἡμῶν, καὶ ἐσόμεθά σοι·
10 Καὶ εἶπεν κύριος πρὸς Μωϋσῆν· ἰδὲ ἐγὼ τί- ΟΘ
θημί σοι διαθήκην ἐνώπιον παντὸς τῦ λαῦ σε,
καὶ ποιήσω ἔνδοξα, ἃ σὺ γέγονεν ἐν πάσῃ τῇ
γῇ καὶ ἐν παντὶ ἔθνει· καὶ ὄψεται πᾶς ὁ λαὸς
ἐν οἷς εἶ σὺ, τὰ ἔργα κυρίε, ὅτι θαυμαςά ἐςιν
ἃ ἐγὼ ποιήσω σοι· 11 πρόσεχε σὺ, πάντα ὅσα
ἐγὼ ἐντέλλομαί σοι· ἰδὲ ἐγὼ ἐκβάλλω ἀπὸ
προσώπε ὑμῶν, τὸν Ἀμοῤῥαῖον, καὶ τὸν Χανα-
ναῖον, καὶ τὸν Χετταῖον, καὶ τὸν Φερεζαῖον, καὶ τὸν
Εὐαῖον, καὶ τὸν Γεργεσαῖον, καὶ τὸν Ἰεβεσαῖον·
12 Πρόσεχε σὲ αὐτῷ, μήποτε διάθῃ διαθήκην τοῖς
ἐγκαθημένοις i) ἐπὶ τῆς γῆς, εἰς ἣν εἰσπορεύῃ A
εἰς αὐτήν· μήποτε γένηται ** πρόσκομμα ἐν
ὑμῖν: 13 τὲς βωμὲς αὐτῶν καθελεῖτε, καὶ τὰς
ςήλας αὐτῶν συντρίψετε, καὶ τὰ ἄλση αὐτῶν
ἐκκόψετε, καὶ τὰ γλυπτὰ * τῶν θεῶν αὐτῶν, *6
κατακαύσετε πυρί· 14 ὁ γὰρ μὴ προσκυνήσητε
θεῷ ἑτέρῳ· ὁ γὰρ κύριος θεὸς ζηλωτὸν ὄνομα,
θεὸς ζηλωτής ἐςιν· 15 μήποτε διάθῃ διαθήκην
τοῖς ἐγκαθημένοις ἐπὶ τῆς γῆς, καὶ ἐκπορνεύσω-
σιν αἱ θυγατέρες σε, ὀπίσω τῶν θεῶν αὐτῶν,
καὶ θύσωσι τοῖς θεοῖς αὐτῶν, καὶ καλέσωσίν
σε, καὶ φάγῃς τῶν θυσιῶν αὐτῶν, 16 καὶ λά-
βῃς τῶν θυγατέρων αὐτῶν τοῖς υἱοῖς σε: καὶ
τῶν θυγατέρων σε δῷς τοῖς υἱοῖς αὐτῶν, καὶ
ἐκπορνεύσωσιν αἱ θυγατέρες σε, ὀπίσω τῶν



ΟΘ ΔΙΑΘΗΚΗ ΠΡΟΣ ΜΩΥΣΗΝ.

i) πρὸς ἀλλοφύλες. ** εἰς.

θεῶν αὐτῶν· 17 καὶ θεȣ̀ς χωνευτȣ̀ς, ȣ̓ ποιήσεις
Β σὲ αὐτῷ, 18 καὶ τὴν ἑορτὴν τῶν ἀζύμων φυ-
λάξῃ· ἑπτὰ ἡμέρας φαγῇ ἄζυμα καθάπερ ἐν-
τέταλμαί σοι εἰς τὸν καιρὸν ἐν τῷ μηνὶ τῶν νέων·
ἐν γὰρ τῷ μηνὶ τῶν νέων, ἐξῆλθες ἐξ Αἰγύπτȣ·
Γ 19 πᾶν διανοῖγον μήτραν, ἐμοὶ τὰ ἀρσενικά·
πρωτότοκον μόσχȣ· καὶ πρωτότοκον προβάτȣ·
20 καὶ πρωτότοκον ὑποζυγίȣ, λυτρώσῃ προβάτῳ·
Δ ἐὰν δὲ μὴ λυτρώσῃ, τιμὴν k) δώσεις αὐτȣ̃· πᾶν
πρωτότοκον τῶν υἱῶν σȣ λυτρώσῃ: ȣ̓κ ὀφθήσῃ
ἐνώπιόν μȣ κενός·
Ε 21 Ἓξ ἡμέρας ἐργᾷ, τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ
καταπαύσεις, τῷ σπόρῳ, καὶ τῷ ἀμήτῳ κα-
S τάπαυσις· 22 καὶ ἑορτὴν ἑβδομάδων ποιήσεις μοι,
ἀρχὴν l) θερισμȣ̃ πυρῶν· καὶ ἑορτὴν συνα-
γωγῆς μεσȣ̃ντος τȣ̃ ἐνιαυτȣ̃, 23 τρεῖς καιρȣ̀ς m)
τȣ̃ ἐνιαυτȣ̃, ὀφθήσεται πᾶν ἀρσενικόν σȣ, ἐνώ-
πιον κυρίȣ τȣ̃ θεȣ̃ σȣ Ἰσραήλ· 24 ὅτ᾽ ἂν γὰρ ἐκ-
βάλω τὰ n) ἔθνη ἀπὸ προσώπȣ σȣ, καὶ ἐμ-
πλατύνω τὰ ὅριά σȣ, ȣ̓κ ἐπιθυμήσει ȣ̓θεὶς τῆς
γῆς σȣ ἡνίκα ἂν ἀναβαίνῃς ὀφθῆναι ἐναντίον
Ζ κυρίȣ τȣ̃ θεȣ̃ σȣ, τρεῖς καιρȣ̀ς τȣ̃ ἐνιαυτȣ̃ 25 ȣ̓
σφάξεις ἐπὶ ζύμῃ αἷμα θυσιασμάτων μȣ, καὶ
Η ȣ̓ κοιμηθήσεται εἰς τὸ πρωῒ, θύμα ἑορτῆς τȣ̃
*7 πάσχα· * 26 τὰ πρωτογενήματα τῆς γῆς σȣ,
Θ εἰσοίσεις εἰς τὸν οἶκον κυρίȣ τȣ̃ θεȣ̃ σȣ· ȣ̓κ
Ι ἑψήσεις ἄρνα ἐν γάλακτι μητρὸς αὐτȣ̃· 27 καὶ
εἶπεν κύριος πρὸς Μωϋσῆν·

Γράψον

k) ΑΚ. τενοντοκοπήσεις αὐτό.
ΣΥ. τραχηλοκοπήσεις αὐτό.

l) οἱ Λ. πρωτογενημάτων. m) ΑΚ. καθόδȣς.

n) τὰ γλυπτά.

Γράψον σὲ αὐτῷ τὰ ῥήματα ταῦτα· ἐπὶ γὰρ τῶν
λόγων τούτων, τέθειμαί σοι διαθήκην καὶ τῷ Ἰσ-
ραήλ· 28 καὶ ἦν ἐκεῖ Μωϋσῆς ἔναντι κυρίου τεσ-
σεράκοντα ἡμέρας, καὶ τεσσεράκοντα νύ-
κτας, ἄρτον οὐκ ἔφαγεν καὶ ὕδωρ οὐκ ἔπιεν·
Καὶ ἔγραψεν ἐπὶ τῶν πλακῶν τὰ ῥήματα ταῦτα
τῆς διαθήκης τοὺς δέκα λόγους·
29 Ὡς δὲ κατέβαινεν Μωϋσῆς ἐκ τοῦ ὄρους σινά, π
καὶ ἰδοὺ αἱ πλάκες ἐπὶ τῶν χειρῶν Μωϋσῆ· κα-
ταβαίνοντος δὲ αὐτοῦ ἀπὸ τοῦ ὄρους, καὶ Μωϋσῆς
οὐκ ᾔδει ὅτι δεδόξασαι ἡ ὄψις τοῦ χρωτὸς τοῦ
προσώπου αὐτοῦ ἐν τῷ λαλεῖν αὐτὸν αὐτῷ· 30 καὶ
ἴδεν Ἀαρὼν, καὶ πάντες οἱ υἱοὶ o) Ἰσραὴλ τὸν
Μωϋσῆν, καὶ ἦν δεδοξασμένη ἡ ὄψις τοῦ χρω-
τὸς τοῦ προσώπου αὐτοῦ, καὶ ἐφοβήθησαν ἐγ-
γίσαι αὐτῷ· 31 καὶ ἐκάλεσεν αὐτοὺς Μωϋσῆς,
Καὶ ἐπεστράφησαν πρὸς αὐτὸν, Ἀαρὼν καὶ πάντες
οἱ ἄρχοντες τῆς συναγωγῆς· καὶ ἐλάλησεν Μωϋ-
σῆς πρὸς αὐτούς· 32 καὶ μετὰ ταῦτα προσῆλ-
θον πρὸς αὐτὸν πάντες οἱ υἱοὶ Ἰσραὴλ, καὶ ἐνε-
τείλατο αὐτοῖς, πάντα ὅσα ἐλάλησεν κύριος πρὸς
αὐτὸν ἐν τῷ ὄρει σινά· 33 καὶ ἐπεὶ κατέπαυσεν
λαλῶν πρὸς αὐτοὺς, ἐπέθηκεν ἐπὶ τὸ πρόσωπον
αὐτοῦ κάλυμμα· 34 ἡνίκα δ' ἂν εἰσεπορεύετο
Μωϋσῆς ἔναντι κυρίου λαλεῖν αὐτῷ, περιῃρεῖτο τὸ
κάλυμμα ἕως τοῦ ἐκπορεύεσθαι· καὶ ἐξελθὼν ἐλά-
λει πᾶσιν τοῖς υἱοῖς Ἰσραὴλ, ὅσα ἐνετείλατο αὐ-
τῷ κύριος· 35 καὶ ἴδον οἱ υἱοὶ Ἰσραὴλ τὸ πρόσω-
πον Μωϋσῆ ὅτι δεδόξασαι, καὶ περιέθηκεν Μωϋσῆς
τὸ κάλυμμα ἐπὶ τὸ πρόσωπον ἑαυτοῦ, ἕως ἂν

 εἰσέλθῃ

π ΠΕΡΙ ΤΗΣ ΔΟΞΗΣ ΤΟΥ ΠΡΟΣΩΠΟΥ ΜΩΥΣΕΩΣ.
o) οἱ πρεσβύτεροι.

εἰσέλθῃ συλλαλεῖν αὐτῷ· XXXV. 1 καὶ συνή-
θροισεν Μωϋσῆς, πᾶσαν συναγωγὴν υἱῶν Ἰσραὴλ,
*8 καὶ εἶπεν πρὸς αὐτούς· οὗτοι οἱ * λόγοι, οὓς εἶπεν
κύριος ποιῆσαι αὐτούς· 2 ἓξ ἡμέρας ποιήσεις ἔργα·
τῇ δὲ ἡμέρᾳ ἑβδόμῃ καταπαύσεις ἅγιον σάββα-
τον, ἀνάπαυσις τῷ κυρίῳ· πᾶς ὁ ποιῶν ἔργον ἐν
*ω αὐτῇ *, τελευτάτω· 3 οὐ καύσετε πῦρ ἐν πάσῃ
CH κατοικίᾳ ὑμῶν ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων ἐγὼ
κύριος· 4 καὶ εἶπεν Μωϋσῆς πρὸς πᾶσαν
GΘ Συναγωγὴν υἱῶν Ἰσραὴλ λέγων· τοῦτο τὸ ῥῆμα ὃ
συνέταξεν κύριος λέγων· 5 λάβετε παρ᾽ ὑμῶν αὐ-
τῶν ἀφαίρεμα κυρίῳ, πᾶς ὁ καταδεχόμενος p) τῇ
καρδίᾳ, οἴσουσιν τὰς ἀπαρχὰς κυρίῳ· χρυσίον,
ἀργύριον, χαλκὸν, 6 ὑάκινθον, πορφύραν, κόκ-
κινον διπλοῦν διανενησμένον, καὶ βύσσον κεκλωσ-
μένην, καὶ τρίχας αἰγίας, 7 καὶ δέρματα κριῶν
ἠρυθροδανωμένα, καὶ δέρματα ὑακίνθινα, καὶ
ξύλα ἄσηπτα, 8 καὶ λίθους σαρδίους, q) καὶ λί-
θους εἰς τὴν γλυφὴν r) εἰς τὴν ἐπωμίδα, καὶ τὸν
ποδήρη, s) 9 καὶ πᾶς σοφὸς τῇ διανοίᾳ ἐν ὑμῖν,
ἐλθὼν ἐργαζέσθω, πάντα ὅσα συνέταξεν κύ-
ριος· 10 τὴν σκηνὴν καὶ τὰ παραρύματα t) καὶ
τὰ διατόνια, u) καὶ τοὺς μοχλοὺς, καὶ τοὺς στύ-
λους, 11 καὶ τὴν κιβωτὸν τοῦ μαρτυρίου, καὶ τοὺς
ἀναφορεῖς αὐτῆς, καὶ τὸ ἱλαστήριον αὐτῆς, καὶ τὸ
καταπέτασμα, καὶ τὰ ἱστία τῆς αὐλῆς, καὶ τοὺς
στύλους αὐτῆς, καὶ τοὺς λίθους τοὺς τῆς σμαράγδου,
καὶ

p) AK. ἐκουσιαζόμενος.
CT. αὐθαίρετος.
q) οἱ Λ. ὄνυχος. r) AK. ΘΕ. τὸ λόγιον.
s) οἱ Λ. πληρώσεως.
t) οἱ Λ. καὶ τὴν σκέπην αὐτῆς· καὶ τὰ καλύμματα.
u) AK. κρίκους. CT. περόνας.

καὶ τὴν τράπεζαν, καὶ τὸ ἔλαιον τῆς χρίσεως,
καὶ πάντα τὰ σκεύη αὐτῆς, καὶ τὴν λυχνίαν τȣ̃
φωτὸς, καὶ πάντα τὰ σκεύη αὐτῆς, καὶ τὸ θυ-
μίαμα τῆς συνθέσεως, καὶ τὸ ἐπίσπαϛρον τῆς
θύρας τῆς σκηνῆς, καὶ τὸ θυσιαϛήριον, καὶ πάν-
τα τὰ σκεύη αὐτȣ̃, καὶ τὰς ϛολὰς τὰς ἁγίας
Ἀαρὼν τȣ̃ ἱερέως, 12 καὶ τὰς ϛολὰς ἐν αἷς λειτȣρ-
γȣ̃σιν ἐν αὐταῖς ἐν τῷ ἁγίῳ· καὶ τȣ̀ς χιτῶνας τοῖς
υἱοῖς Ἀαρὼν τῆς ἱερατείας· 13 καὶ ἐξῆλθεν πᾶσα
Ἡ συναγωγὴ υἱῶν Ἰσραὴλ ἀπὸ Μωϋσῆ. 14 καὶ ἤνεγ- ΠΑ
καν ἕκαϛος ὧν ἔφερεν ἡ καρδία αὐτῶν, καὶ x) οἷς
ἔδοξεν τῇ * ψυχῇ αὐτῶν, ἤνεγκαν ἀφαίρεμα κυ- *9
ρίῳ εἰς πάντα τὰ ἔργα τῆς σκηνῆς τȣ̃ μαρτυρίȣ,
καὶ εἰς πάντα τὰ κάτεργα αὐτῆς, καὶ εἰς πάσας
τὰς ϛολὰς τȣ̃ ἁγίȣ: 15 καὶ ἤνεγκαν οἱ ἄνδρες
παρὰ τῶν γυναικῶν πᾶς ᾧ ἔδοξεν y) τῇ διανοίᾳ,
ἤνεγκαν σφραγῖδας, z) καὶ ἐνώτια, καὶ δακτυ-
λίȣς, καὶ ἐμπλόκια, καὶ περιδέξια, πᾶν σκεῦος
χρυσȣ̃ν· 16 καὶ πάντες ὅσοι ἤνεγκαν ἀφαίρεμα
χρυσίȣ κυρίῳ· καὶ πᾶς ᾧ εὑρέθη βύσσος παρ'
αὐτῶν δέρματα κριῶν ἠρυθροδανώμενα, ἤνεγκαν·
17 καὶ δέρματα ὑακίνθινα, πᾶς ὁ ἀφαιρῶν ἀφαί-
ρεμα, ἀργύριον, καὶ χαλκὸν, ἤνεγκαν τὰ ἀφαι-
ρέματα τῷ κυρίῳ· καὶ παρ' οἷς εὑρέθη παρ' αὐ-
τοῖς ξύλα ἄσηπτα, εἰς πάντα τὰ ἔργα τῆς κα-
τασκευῆς, ἤνεγκαν· 18 καὶ πᾶσα γυνὴ σοφὴ τῇ
διανοίᾳ ταῖς χερσὶν νήθειν, ἤνεγκαν νενησμένα τὴν
ὑάκινθον, καὶ τὴν πορφύραν, καὶ τὸ κόκκινον,
καὶ

ΠΑ ΠΕΡΙ ΤΩΝ ΕΝΕΓΚΑΝΤΩΝ ΤΑ ΑΦΑΙΡΕΜΑΤΑ.

x) ΑΚ. ȣ̃ ἂν ἐκȣσιάσατο πνεῦμα αὐτȣ̃.

y) ΑΚ. ἑκȣ́σιος καρδίᾳ. z) ἀφαίρεμα.

καὶ τὴν βύσσον· 19 καὶ πᾶσαι αἱ γυναῖκες αἷς
ἔδοξεν τῇ διανοίᾳ αὐτῶν, ἐν σοφίᾳ ἔνησαν τὰς
τρίχας τὰς αἰγείας· 20 καὶ οἱ ἄρχοντες, ἤνεγκαν
τοὺς λίθους τῆς σμαράγδου, καὶ τοὺς λίθους τῆς
πληρώσεως εἰς τὴν ἐπωμίδα, καὶ εἰς τὸ λόγειον,
21 καὶ τὰς συνθέσεις, καὶ τὸ ἔλαιον τῆς χρίσεως,
καὶ τὴν σύνθεσιν τοῦ θυμιάματος· 22 καὶ πᾶς
ἀνὴρ καὶ γυνὴ ὧν ἔφερεν ἡ διάνοια αὐτῶν εἰσελ-
θόντας ποιεῖν πάντα τὰ ἔργα, ὅσα συνέταξεν κύ-
ριος ποιῆσαι αὐτὰ διὰ Μωϋσῆ, ἤνεγκαν οἱ υἱοὶ
Ἰσραὴλ ἀφαίρεμα κυρίῳ·
P 23 Καὶ εἶπεν Μωϋσῆς τοῖς υἱοῖς Ἰσραήλ· ἰδοὺ ἀνα-
κέκληκεν ὁ θεὸς ἐξ᾽ ὀνόματος τὸν Βεσελεὴλ τὸν
τοῦ Οὐρεὶ, υἱοῦ Ὂρ ἐκ τῆς φυλῆς Ἰούδα, 24 καὶ ἐνέ-
πλησεν αὐτὸν πνεῦμα θεῖον καὶ σοφίας καὶ συνέ-
σεως, καὶ ἐπιστήμης πάντων 25 ἀρχιτεκτονεῖν, κατὰ
πάντα τὰ ἔργα τῆς ἀρχιτεκτονίας· ποιεῖν τὸ χρυ-
σίον, καὶ τὸ ἀργύριον, καὶ τὸν χαλκὸν, 26 καὶ
10 λιθουργῆσαι τὸν λίθον, * καὶ κατεργάζεσθαι τὰ
ξύλα, καὶ ποιεῖν ἐν παντὶ ἔργῳ σοφίας, 27 καὶ
προβιβάσαι a) γε ἔδωκεν ἐν τῇ διανοίᾳ, αὐτῷ
τὲ καὶ Ἐλιὰβ τῷ τοῦ Ἀχισαμὰχ ἐκ τῆς φυλῆς
Δὰν, 28 καὶ ἐνέπλησεν αὐτοὺς σοφίας καὶ συνέ-
σεως διανοίας, καὶ συνιέναι ποιῆσαι πάντα τὰ ἔρ-
γα τοῦ ἁγίου· τὰ ὑφαντὰ, καὶ τὰ ποικιλτὰ,
ὑφᾶναι τῷ κοκκίνῳ, καὶ τῇ βύσσῳ, ποιεῖν πᾶν
ἔργον ἀρχιτεκτονίας ποικιλίας· XXXVI. 1 καὶ
ἐποίησεν Βεσελεὴλ καὶ Ἐλιὰβ, καὶ πᾶς σοφὸς τῇ
διανοίᾳ, ᾧ ἐδόθη σοφία καὶ ἐπιστήμη ἐν αὐτοῖς,
συνιέναι ποιεῖν πάντα τὰ ἔργα, τὰ κατὰ τὰ
ἅγια καθήκοντα κατὰ πάντα ὅσα συνέταξεν
κύριος·

a) cr. ὑποδεῖξαι.

κύριος· [2] καὶ ἐκάλεσεν Μωϋσῆς τὸν Βεσελεὴλ
καὶ Ἐλιὰβ καὶ πάντας τοὺς ἄρχοντας τὴν σύνεσιν
καὶ τὴν σοφίαν, ᾧ ἔδωκεν ὁ θεὸς ἐπιστήμην ἐν τῇ
καρδίᾳ, καὶ πάντας τοὺς ἑκουσίως βουλομένους προσ-
πορεύεσθαι πρὸς τὰ ἔργα, ὥστε συντελεῖν αὐτά·
[3] καὶ ἔλαβεν παρὰ Μωϋσῆ πάντα τὰ ἀφαιρέματα
ἃ ἤνεγκαν οἱ υἱοὶ Ἰσραὴλ εἰς πάντα τὰ ἔργα τοῦ ἁγίου
ποιεῖν αὐτά· καὶ αὐτοὶ προσεπεδέχοντο ἔτι τὰ
προσφερόμενα, παρὰ τῶν φερόντων τὸ πρωῒ
πρωΐ·
[4] Καὶ παραγενόμενοι πάντες οἱ σοφοὶ οἱ ποιοῦν- ΡΑ
τες τὰ ἔργα τοῦ ἁγίου, ἕκαστος κατὰ τὸ αὐτοῦ ἔρ-
γον, ὃ αὐτοὶ εἰργάζοντο, [5] καὶ εἶπαν πρὸς Μωϋ-
σῆν, ὅτι πλῆθος φέρει ὁ λαὸς παρὰ τὰ ἔργα
ὅσα συνέταξεν κύριος ποιῆσαι· [6] καὶ προσ-
έταξεν Μωϋσῆς καὶ ἐκήρυξεν ἐν τῇ παρεμβολῇ λέ-
γων· ἀνὴρ καὶ γυνὴ μηκέτι ἐργαζέσθωσαν εἰς τὰς
ἀπαρχὰς τοῦ ἁγίου, καὶ ἐκωλύθη ὁ λαὸς ἔτι προσ-
φέρειν, [7] καὶ τὰ ἔργα ἱκανὰ ἦν αὐτοῖς εἰς τὴν
κατασκευὴν ποιῆσαι, καὶ προσκατέλιπον· [8] καὶ
ἐποίησεν πᾶς σοφὸς ἐν τοῖς ἐργαζομένοις τὰς στο-
λὰς τῶν ἁγίων, * αἵ εἰσιν Ἀαρὼν τῷ ἱερεῖ, καθὰ *ΙΙ
συνέταξεν κύριος τῷ Μωϋσῇ· καὶ ἐποίησαν τὴν
ἐπωμίδα ἐκ χρυσίου, καὶ ὑακίνθου καὶ πορφύρας,
καὶ κοκκίνου νενησμένου, καὶ βύσσου κεκλωσμένης,
καὶ ἐτμήθη τὰ πέταλα τοῦ χρυσίου, τρίχες ὥστε
συνυφᾶναι σὺν τῇ ὑακίνθῳ, καὶ τῇ πορφύρᾳ,
καὶ σὺν τῷ κοκκίνῳ, τῷ διανενησμένῳ, καὶ σὺν
τῇ βύσσῳ, τῇ κεκλωσμένῃ· ἔργον ὑφαντὸν ἐποίη-
σαν αὐτὸ, ἐπωμίδα, συνεχούσας ἐξ ἀμφοτέρων
τῶν μερῶν αὐτοῦ· ἔργον ὑφαντὸν εἰς ἄλληλα,
συμπεπλεγμένον καθ' ἑαυτὸ ἐξ αὐτοῦ ἐποίησαν

κατὰ

κατὰ τὴν αὐτῦ ποίησιν ἐκ χρυσίυ καὶ ὑακίνθυ, καὶ πορφύρας, καὶ κοκκίνυ διανενησμένυ, καὶ βύσσυ κεκλωσμένης, καθὰ συνέταξεν κύριος τῷ Μωϋσῇ·
ΡΒ Καὶ ἐποίησαν ἀμφοτέρυς τὺς λίθυς τῆς σμαράγδυ συμπεπορπημένυς καὶ περισεσιαλωμένυς b) χρυσίῳ γεγλυμμένυς ἐκκόλαμμα σφραγίδος ἐκ τῶν ὀνομάτων τῶν υἱῶν Ἰσραήλ· καὶ ἐπέθηκαν αὐτὺς ἐπὶ τὺς ὤμυς τῆς ἐπωμίδος λίθυς μνημόσυνον τῶν υἱῶν Ἰσραὴλ, καθὰ συνέταξεν κύριος τῷ Μωϋσῇ·
ΡΓ Καὶ ἐποίησεν λόγειον ἔργον ὑφαντὸν ποικιλίας, κατὰ τὸ ἔργον τῆς ἐπωμίδος, ἐκ χρυσίυ καὶ ὑακίνθυ, καὶ πορφύρας, καὶ κοκκίνυ διανενησμένυ, καὶ βύσσυ κεκλωσμένης, τετράγωνον διπλῦν ἐποίησαν τὸ λόγειον, σπηθαμῆς τὸ μῆκος αὐτῦ, καὶ σπηθαμῆς τὸ εὖρος αὐτῦ διπλῦν, καὶ συνυφάνθῃ ἐν αὐτῷ ὕφασμα κατὰ λίθον τετράστιχον, στίχος λίθων σάρδιον τὸ πάζιον, καὶ σμάραγδος ὁ στίχος ὁ εἷς, καὶ ὁ στίχος ὁ δεύτερος ἄνθραξ καὶ σάπφειρος, καὶ ἴασπις· καὶ ὁ στίχος ὁ τρίτος, λιγύριον καὶ ἀχά-
*12 * της, καὶ ἀμέθυστος, καὶ ὁ στίχος ὁ τέταρτος, χρυσόλιθος, καὶ βηρύλλιον, καὶ ὀνύχιον, περικεκυκλωμένα c) χρυσίῳ, καὶ συνδεδεμένα ἐν χρυσίῳ· καὶ οἱ λίθοι ἦσαν ἐκ τῶν ὀνομάτων τῶν υἱῶν Ἰσραὴλ, δώδεκα κατὰ τὰ ὀνόματα αὐτῶν ἐγγεγλυμμέναι σφραγίδες, ἕκαστος ἐκ τῦ ἑαυτῦ ὀνόματος, εἰς τὰς δώδεκα φυλάς· καὶ ἐποίησαν ἐπὶ τὸ λόγειον κρόσσυς συμπεπλεγμένυς,

b) οἱ Λ. συνεσφιγμένυς.
c) κεκαλυμμένα ἔχει ὀπίσω.

νους, ἔργον ἐμπλοκίου ἐκ χρυσίου καθαροῦ· καὶ
ἐποίησαν δύο ἀσπιδίσκας d) χρυσᾶς, καὶ δύο
δακτυλίους χρυσοῦς· καὶ ἐπέθηκαν τοὺς δύο δακ-
τυλίους τοὺς χρυσοῦς, ἐπ᾿ ἀμφοτέρας τὰς ἀρχὰς
τοῦ λογείου· καὶ ἐπέθηκαν τὰ ἐμπλόκια e)
ἐκ χρυσίου ἐπὶ τοὺς δύο δακτυλίους ἐξ ἀμφοτέ-
ρων τῶν μερῶν τοῦ λογείου, καὶ εἰς τὰς δύο συμ-
βολὰς τὰ δύο ἐμπλόκια, καὶ ἐπέθηκαν ἐπὶ
τὰς δύο ἀσπιδίσκας· καὶ ἐπέθηκαν ἐπὶ τοὺς ὤ-
μους τῆς ἐπωμίδος ἐξεναντίας, κατὰ πρόσωπον
αὐτοῦ· καὶ ἐποίησαν δύο δακτυλίους χρυσοῦς, καὶ
ἐπέθηκαν ἐπὶ τὰ δύο πτερύγια, ἀπ᾿ ἄκρου τοῦ
λογείου, ἐπὶ τὸ ἄκρον τοῦ ὀπισθίου τῆς ἐπωμίδος
ἔσωθεν· καὶ ἐποίησαν δύο δακτυλίους χρυσοῦς, καὶ
ἐπέθηκαν ἐπ᾿ ἀμφοτέρους τοὺς ὤμους τῆς ἐπωμίδος
κάτωθεν αὐτοῦ κατὰ πρόσωπον, κατὰ τὴν συμβο-
λὴν ἄνωθεν τῆς συνυφῆς τῆς ἐπωμίδος· καὶ
συνέσφιγξεν τὸ λόγειον ἀπὸ τῶν δακτυλίων τῶν
ἐπ᾿ αὐτοῦ, εἰς τοὺς δακτυλίους τῆς ἐπωμίδος συν-
εχομένους ἐκ τῆς ὑακίνθου· συμπεπλεγμένους εἰς
τὸ ὕφασμα τῆς ἐπωμίδος, ἵνα μὴ χαλᾶται
τὸ λόγειον ἀπὸ τῆς ἐπωμίδος, καθὰ συνέταξεν
κύριος τῷ Μωϋσῇ· καὶ ἐποίησαν τὸν ὑποδύ- ΡΔ
την * ὑπὸ τὴν ἐπωμίδα, ἔργον ὑφαντὸν ὅλον* 13
ὑακίνθινον· τὸ δὲ περιστόμιον τοῦ ὑποδύτου ἐν τῷ
μέσῳ διυφασμένον, συμπλεκτὸν, ᾤϊαν ἔχον κύ-
κλῳ, τὸ περιστόμιον ἀδιάλυτον· καὶ ἐποίησαν ἐπὶ
τοῦ λώματος τοῦ ὑποδύτου κάτωθεν, ὡς ἐξαν-
θούσης ῥοᾶς ῥοΐσκους ἐξ ὑακίνθου, καὶ πορφύρας,
καὶ κοκκίνου νενησμένου, καὶ βύσσου κεκλωσμένης·
καὶ

d) ΑΚ. ΣΥ. σφιγκτῆρας.
e) ΑΚ. ΣΥ. ἁλύσεις. ΘΕ. χαλαστά.

καὶ ἐποίησαν κώδωνας χρυσοῦς, καὶ ἐπέθηκαν
τοὺς κώδωνας ἐπὶ τὸ λῶμα τοῦ ὑποδύτου κυκλῳ,
ἀνὰ μέσον τῶν ῥοΐσκων, κώδων χρυσοῦς καὶ ῥοΐ-
σκος ἐπὶ τοῦ λώματος τοῦ ὑποδύτου κύκλῳ εἰς τὸ
λειτουργεῖν, καθὰ συνέταξεν κύριος τῷ Μωϋσῇ·
καὶ ἐποίησαν χιτῶνας βυσσίνους ἔργον ὑφαντὸν,
Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ, καὶ τὰς κιδάρεις f)
ἐκ βύσσου, καὶ τὴν μίτραν ἐκ βύσσου, καὶ τὰ
περισκελῆ ἐκ βύσσου κεκλωσμένης, καὶ τὰς ζώνας
αὐτῶν ἐκ βύσσου, καὶ ὑακίνθου, καὶ πορφύρας, καὶ
κοκκίνου νενησμένου, ἔργον ποικιλτοῦ, ὃν τρόπον συνέ-
ταξεν κύριος τῷ Μωϋσῇ· καὶ ἐποίησαν τὸ πέτα-
λον τὸ χρυσοῦν, ἀφόρισμα τοῦ ἁγίου χρυσίου καθα-
ροῦ· καὶ ἔγραψεν ἐπ' αὐτοῦ γράμματα ἐκτετυ-
πωμένα σφραγῖδος ἁγίασμα κυρίῳ, καὶ ἐπέθη-
κεν ἐπ' αὐτὸ, λῶμα ὑακίνθινον, ὥστε ἐπικεῖσθαι
ἐπὶ τὴν μίτραν ἄνωθεν, ὃν τρόπον συνέταξεν κύριος
τῷ Μωϋσῇ· XXXVII. καὶ ἐποίησαν τῇ σκηνῇ δέκα
ΡΕ Αὐλαίας, ὀκτὼ καὶ εἴκοσι πηχέων· μῆκος τῆς αὐ-
λαίας τῆς μιᾶς, τὸ αὐτὸ ἦσαν πᾶσαι· καὶ τεσ-
σάρων πηχέων τὸ εὖρος τῆς αὐλαίας τῆς μιᾶς·
καὶ

f) ἄνω ἐσημειωσάμεθα πρὸ ἑπτὰ φύλλων, ὅτι ὁ ΑΚ. καὶ ὁ ΣΤ. τὴν κίδαριν, μήτραν καλεῖ ὡς τῆς αὐτῆς οὔσης μήτρας καὶ κιδάρεως· ἀλλ' ἰδοὺ ἐνταῦθα ὑποφαίνεται ὡς ἕτερόν τι· καὶ ἑτέραν ἦν· λέγει γὰρ, καὶ ἐποίησαν χιτῶνας βυσσίνους ἔργον ὑφαντὸν Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ· καὶ τὰς κιδάρεις ἐκ βύσσου, καὶ τὴν μίτραν ἐκ βύσσου· νοητέον οὖν, ὁ στέφανος ἦν ἡ μίτρα, τῇ τοῦ ἀρχιερέως ἐπικείμενος κεφαλῇ, καὶ ὑπεράνω ἡ κίδαρις πῖλος οὖσα, καὶ τίαρα περιφερὴς, οὐρανοῦ τύπον πληροῦσα, καὶ συνηρμοσμένη τῇ μίτρᾳ, ὡς ἓν εἶναι δοκεῖν ἀμφότερα· τὸ δὲ πέταλον τῇ μίτρᾳ προσεπεπήγει τοῦ μετώπου τοῦ ἀρχιερέως προλάμπον, χρυσοῦν ὑπάρχον καὶ ἐγκεκολαμμένον ἔχον τὸ ἀκατωνόμαστον ὄνομα.

καὶ ἐποίησαν τὸ καταπέτασμα g) ἐξ ὑακίνθȣ,
καὶ πορφύρας, καὶ κοκκίνȣ νενησμένȣ, καὶ βύσ-
σȣ κεκλωσμένης ἔργον ὑφαντὸν χερȣβείμ· καὶ
ἐπέθηκαν αὐτὸ ἐπὶ τέσσαρας ςύλȣς ἀσήπτȣς,
κατακεχρυσωμένȣς χρυσίῳ, καὶ αἱ κεφα-
λίδες αὐτῶν χρυσαί· καὶ αἱ βάσεις αὐ-
τῶν * τέσσαρες ἀργυραί· καὶ ἐποίησαν τὸ κατα- *14
κάλυμμα h) i) τῆς θύρας τῆς σκηνῆς τȣ̃ μαρτυ- ΠΒ
ρίȣ ἐξ ὑακίνθȣ, καὶ πορφύρας, καὶ κοκκίνȣ νε- PS
νησμένȣ, καὶ βύσσȣ κεκλωσμένης, ἔργον ὑφαν-
τὸν χερȣβεὶμ, καὶ τȣ̀ς ςύλȣς αὐτȣ̃ πέντε, καὶ
τȣ̀ς κρίκȣς αὐτῶν, καὶ τὰς κεφαλίδας αὐτῶν,
καὶ τὰς ψαλίδας αὐτῶν κατεχρύσωσαν χρυσίῳ·
καὶ τὰς βάσεις αὐτῶν πέντε χαλκάς· καὶ ἐποίησαν
τὴν αὐλὴν τὰ πρὸς νότον k), ἱςία τῆς αὐλῆς ἐκ βύσ-
σȣ κεκλωσμένης, ἑκατὸν ἐφ᾽ ἑκατὸν, καὶ οἱ ςύλοι αὐ-
τῶν εἴκοσι, καὶ αἱ βάσεις αὐτῶν εἴκοσι χαλκαί· καὶ
τὸ κλῖτος τὸ πρὸς βοῤῥᾶν, ἑκατὸν ἐφ᾽ ἑκατόν· καὶ οἱ
ςύλοι αὐτῶν εἴκοσι, καὶ αἱ βάσεις εἴκοσι χαλκαί·
καὶ τὸ κλῖτος τὸ κατὰ θάλασσαν, αὐλαίαι πεντή-
κοντα πηχέων, ςύλοι αὐτῶν δέκα, καὶ αἱ βάσεις
αὐτῶν δέκα· καὶ τὸ κλῖτος τὸ πρὸς ἀνατολὰς,
πεντήκοντα πηχέων, ἱςία πεντεκαίδεκα πηχέων
τὸ κατὰ νότȣ, καὶ οἱ ςύλοι αὐτῶν τρεῖς, καὶ αἱ
βάσεις αὐτῶν τρεῖς: καὶ ἐπὶ τȣ̃ νώτȣ τȣ̃ δευτέρȣ,
ἔνθεν καὶ ἔνθεν κατὰ τὴν πύλην τῆς αὐλῆς·
αὐλαίαι l) πεντεκαίδεκα πηχέων καὶ οἱ ςύλοι
αὐτῶν

ΠΒ ΠΕΡΙ ΤΟΥ ΚΑΤΑΠΕΤΑΣΜΑΤΟΣ.

g) ΑΚ. παραπέτασμα.
h) ΑΚ. παρατάνυσμα.
i) καταπέτασμα. k) λίβα.
l) ἀντὶ τȣ̃ εἰπεῖν ὡς οἶμαι, ἱςία πεντεκαίδεκα πηχέων, αὐλαίας

αὐτῶν τρεῖς, καὶ αἱ βάσεις αὐτῶν τρεῖς· πᾶσαι
αἱ αὐλαῖαι τῆς αὐλῆς ἐκ βύσσου κεκλωσμένης,
καὶ αἱ βάσεις τῶν ςύλων χαλκαῖ· καὶ αἱ ἀγκύλαι
αὐτῶν ἀργυραῖ· καὶ αἱ κεφαλίδες αὐτῶν περιηρ-
γυρωμέναι ἀργυρίῳ, καὶ οἱ ςύλοι περιηργυρωμέ-
νοι ἀργυρίῳ, πάντες οἱ ςύλοι τῆς αὐλῆς, καὶ τὸ
κατακάλυμμα m) τῆς πύλης τῆς αὐλῆς, ἔργον
ποικιλτοῦ, ἐξ ὑακίνθου καὶ πορφύρας, καὶ κοκ-
κίνου νενησμένου, καὶ βύσσου κεκλωσμένης εἴκοσι
πηχέων τὸ μῆκος, καὶ τὸ ὕψος, καὶ τὸ εὖρος
πέντε πηχέων ἐξισούμενον τοῖς ἱςίοις τῆς αὐλῆς, καὶ
οἱ ςύλοι αὐτῶν τέσσαρες, καὶ αἱ βάσεις αὐτῶν
τέσσαρες χαλκαῖ· καὶ αἱ ἀγκύλαι αὐτῶν ἀργυ-
*15 ραῖ· καὶ αἱ κεφαλίδες αὐτῶν περιηρ*γυρωμέναι ἀρ-
γυρίῳ· καὶ αὐτοὶ περιηργυρωμένοι ἀργυρίῳ· καὶ
πάντες οἱ πάσσαλοι τῆς αὐλῆς κύκλῳ χαλκοῖ·
καὶ αὕτη ἡ σύνταξις τῆς σκηνῆς τοῦ μαρτυρίου,
καθὰ συνετάγη τῷ Μωϋσῇ, τὴν λειτουργίαν εἶναι
τῶν Λευιτῶν, διαθάμαρ, τοῦ υἱοῦ Ἀαρὼν τοῦ ἱε-
ρέως· καὶ Βεσελεὴλ ὁ τοῦ Οὐρεὶ, ἐκ τῆς φυλῆς
Ἰούδα, ἐποίησεν καθὰ συνέταξεν κύριος τῷ Μωϋ-
σῇ· καὶ Ἐλιὰβ, ὁ τοῦ Ἀχισαμὰχ ἐκ τῆς φυλῆς
Δὰν, ὃς ἠρχιτεκτόνησεν τὰ ὑφαντὰ, καὶ ῥαφι-
δευτὰ, καὶ ποικιλτὰ, ὑφᾶναι τῷ κοκκίνῳ, καὶ
τῇ βύσσῳ·

XXXVIII. Καὶ ἐποίησεν Βεσελεὴλ τὴν κιβωτὸν, καὶ
κατεχρύσωσεν αὐτὴν χρυσίῳ καθαρῷ, ἔσωθεν
καὶ ἔξωθεν· καὶ ἐποίησεν αὐτῇ κυμάτιον χρυσοῦν
κύκλῳ, καὶ ἐχώνευσεν αὐτῇ, τέσσαρας δακτυ-
λίους

εἶπεν πεντεκαίδεκα πηχέων. δῆλον γὰρ ὅτι ὁμοίως τῷ ἑτέρῳ νώτῳ διέκειτο, καὶ ὁ νῶτος ὁ δεύτερος.

m) καταπέτασμα.

λίους χρυσοῦς, ἐπὶ τὰ τέσσαρα μέρη αὐτῆς· δύο
ἐπὶ τὸ κλῖτος τὸ ἓν, καὶ δύο ἐπὶ τὸ κλῖτος τὸ
δεύτερον· εὐρεῖς τοῖς διωστῆρσιν, ὥστε αἴρειν αὐτὴν
ἐν αὐτοῖς· καὶ ἐποίησεν τὸ ἱλαστήριον ἐπάνωθεν
τῆς κιβωτοῦ ἐκ χρυσίου καθαροῦ· καὶ ἐποίησεν δύο
χερουβεὶμ χρυσοῦς· χεροὺβ ἕνα, ἐπὶ τὸ ἄκρον τοῦ
ἱλαστηρίου τὸ ἓν, καὶ χεροὺβ ἕνα, ἐπὶ τὸ ἄκρον τὸ
δεύτερον τοῦ ἱλαστηρίου, σκιάζοντας ταῖς πτέρυξιν
αὐτῶν ἐπὶ τὸ ἱλαστήριον· καὶ ἐποίησεν τὴν τρά-
πεζαν τὴν προκειμένην ἐκ χρυσίου καθαροῦ, καὶ
ἐχώνευσεν αὐτῇ τέσσαρας δακτυλίους χρυσοῦς, δύο
δακτυλίους ἐπὶ τοῦ κλίτους τοῦ ἑνὸς, καὶ δύο δακτυ-
λίους ἐπὶ τοῦ κλίτους τοῦ δευτέρου· εὐρεῖς, ὥστε αἴρειν
τοῖς διωστῆρσιν ἐν αὐτοῖς· καὶ τοὺς διωστῆρας τῆς
κιβωτοῦ, καὶ τῆς τραπέζης ἐποίησεν· καὶ κατεχρύ-
σωσεν αὐτοὺς χρυσίῳ, καὶ ἐποίησεν τὰ σκέυη τῆς
τραπέζης, τά τε τρύβλια, καὶ τὰς θυΐσκας,
καὶ τοὺς κυάθους καὶ τὰ σπονδεῖα, ἐν οἷς σπήσεις ἐν
αὐτοῖς χρυσᾶ· καὶ ἐποίησεν τὴν λυχνίαν, ἣ φωτίζει
χρυσῆν στερεὰν, τὸν καυλὸν, καὶ * καὶ τοὺς καλαμίσ- *16
κους, ἐξ ἀμφοτέρων τῶν μερῶν αὐτῆς, ἐκ τῶν καλα-
μίσκων αὐτῆς· οἱ βλαστοὶ ἐξέχοντες, τρεῖς ἐκ τού-
του, καὶ τρεῖς ἐκ τούτου ἐξισούμενοι ἀλλήλοις· καὶ
τὰ λαμπάδια αὐτῶν, ἅ ἐστιν ἐπὶ τῶν ἄκρων [n]) κα-
ρυωτὰ ἐξ αὐτῶν, καὶ τὰ ἐνθέμια ἐξ αὐτῶν, ἵνα
ὦσιν οἱ λύχνοι ἐπ᾽ αὐτῶν, καὶ τὸ ἐνθέμιον τὸ ἕβ-
δομον τὸ ἐπ᾽ ἄκρου τοῦ λαμπαδίου, ἐπὶ τῆς κορυφῆς
ἄνωθεν στερεὸν ὅλον χρυσοῦν καὶ ἑπτὰ λύχνους αὐ- CH
τῇ ἐπ᾽ αὐτῆς χρυσοῦς, καὶ τὰς λαβίδας [o]) αὐτῆς



χρυσᾶς·

n) αὐτῶν.

o) ἐν τῷ διατάττεσθαι τὸν θεὸν τῷ Μωϋσεῖ τὴν κατασκευὴν τῆς λυχνίας ἀνωτέρω καὶ λέγειν, καὶ τὸν παρυστῆρα αὐτῆς ἔξωθεν

χρυσᾶς· καὶ τὰς ἐπαρυστρίδας αὐτῆς χρυσᾶς, οὗτος περιηργύρωσεν τοὺς στύλους, καὶ ἐχώνευσεν τοῖς στύλοις, δακτυλίους χρυσοῦς, καὶ ἐχρύσωσεν τοὺς μοχλοὺς χρυσίῳ, καὶ κατεχρύσωσεν τοὺς στύλους τοῦ καταπετάσματος χρυσίῳ, καὶ ἐποίησεν τὰς ἀγκύλας χρυσᾶς, οὗτος ἐποίησεν τοὺς κρίκους τῆς σκηνῆς χρυσοῦς· καὶ τοὺς κρίκους τῆς αὐλῆς, καὶ κρίκους εἰς τὸ ἐκτείνειν ἄνωθεν τὸ κατακάλυμμα χαλκοῦς· οὗτος ἐχώνευσεν τὰς κεφαλίδας τὰς χαλκᾶς τῇ θύρᾳ τῆς σκηνῆς, καὶ τῇ πύλῃ τῆς αὐλῆς· καὶ ἀγκύλας ἐποίησεν ἀργυρᾶς ἐπὶ τῶν στύλων·

Οὗτος περιηργύρωσεν αὐτούς· οὗτος ἐποίησεν p) τοὺς πασσάλους τῆς σκηνῆς, καὶ τοὺς πασσάλους τῆς αὐλῆς χαλκοῦς· οὗτος ἐποίησεν τὸ θυσιαστήριον τὸ χαλκοῦν, ἐκ τῶν πυρείων τῶν χαλκῶν, ἃ ἦν τοῖς ἀνδράσιν q) τοῖς καταστασιάσασιν μετὰ τῆς κορὲ συναγωγῆς· οὗτος ἐποίησεν πάντα τὰ σκεύη τοῦ θυσιαστηρίου, τὴν βάσιν αὐτοῦ καὶ τὸ πύρειον r) αὐτοῦ καὶ τὰς φιάλας, καὶ τὰς κρεάγρας χαλκᾶς· οὗτος ἐποίησεν τῷ θυσιαστηρίῳ, περίθεμα s) ἔργον δικτυωτὸν, κάτωθεν τοῦ πυρείου ὑπ' αὐτὸ, ἕως τοῦ ἡμίσους αὐτοῦ· καὶ ἐπέθηκεν αὐτῷ τέσσαρας δακτυλίους, ἐκ τῶν τεσσάρων μερῶν

θεν ἐσημειωσάμεθα, ὡς οἱ λοιποὶ τῶν ἑρμηνευτῶν τὸν ἐπαρυστῆρα λαβίδας ἐκδεδώκασι. σημαίνεται δὲ ἐκ τοῦ ῥητοῦ τούτου, τὰς λαβίδας ἑτέρας εἶναι παρὰ τὰς ἐπαρυστρίδας, καὶ λαβίδες μέν εἰσι προδήλως, αἱ τὰς θρυαλλίδας ἐπανάγουσαι· ἐπαρυστρίδας δὲ ἂν εἶεν, οἱονεὶ λήκυθοί τινες χρυσαῖ, τῆς λυχνίας ἐξηρτημέναι, τοῖς τε λύχνοις ἐκκαιομένοις τὸ ἔλαιον κατὰ μέρος, ὡς ἐκ μηχάνης τινὸς ἐπαρυόμεναί τε καὶ ἐπιχέουσαι.

p) καὶ τοὺς δακτυλίους τῆς σκηνῆς.

q) προαναφώνησις.

r) γίγιον.

s) στατήρα.

μερῶν τοῦ παραθέματος τοῦ θυσιαστηρίου χαλκοῦς,
εὑρεῖς, [t]) * τοῖς μοχλοῖς, ὥστε αἴρειν τὸ θυ- *17
σιαστήριον ἐν αὐτοῖς· οὗτος ἐποίησεν τὸ ἔλαιον
τοῦ χρίσματος τὸ ἅγιον, καὶ τὴν σύνθεσιν
τοῦ θυμιάματος καθαρὸν ἔργον μυρεψοῦ·
Οὗτος [u]) ἐποίησεν τὸν λουτῆρα τὸν χαλκοῦν, καὶ τὴν ΠΙ
βάσιν αὐτοῦ χαλκῆν ἐκ τῶν κατόπτρων τῶν νηστευ-
σασῶν [x]), αἳ ἐνήστευσαν παρὰ τὰς θύρας [y]) τῆς
σκηνῆς τοῦ μαρτυρίου ἐν ᾗ ἡμέρᾳ ᾗ ἔπηξεν αὐτήν,
καὶ ἐποίησεν τὸν λουτῆρα, ἵνα νίπτωνται ἐξ αὐτοῦ
Μωϋσῆς καὶ Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ τὰς χεῖρας
καὶ τοὺς πόδας αὐτῶν, εἰσπορευομένων αὐτῶν εἰς
τὴν σκηνὴν τοῦ μαρτυρίου· ἢ ὅτ᾽ ἂν προσπορεύων-
ται πρὸς τὸ θυσιαστήριον λειτουργεῖν, ἐνίπτοντο



ΠΓ ΠΕΡΙ ΤΩΝ ΚΑΤΟΠΤΡΩΝ ΤΩΝ ΝΗΣΤΕΥΣΑΣΩΝ ΟΘΕΝ ΓΕΓΟΝΕΝ Ο ΛΟΥΤΗΡ.

t) ΑΚ. διδράχμιον.

u) βλέπε πρὸς ποῖον ὕψος ἀρετῆς αὐτὰς ἡ τῆς νηστείας ἀνήγαγεν κάθαρσις· οὐ γὰρ μόνον ἄτροφοι διέμειναν, ἀλλὰ καὶ ταῖς θύραις θεοφιλῶς προσεκαθέσθησαν τῆς σκηνῆς, τρόπον τινὰ τὴν διάνοιαν ἀφιερώσασαι καὶ νηστεύσασαι πάσης μερίμνης βιωτικῆς· καὶ ὡς ἴδον ἑαυτὰς ἀξίας γενομένας θεῷ καθαγέγραπται, καὶ λάμπουσαι τῷ τῆς ψυχῆς κάλλει, τὸ τῆς σωματικῆς ὄψεως ἀπέῤῥιψαν κάτοπτρον, δι᾽ αὐτῶν τῶν πραγμάτων βοῶσαι ὡς αἱ τὴν ἔνδοθεν εὐπρέπειαν ἔχουσαι, καταφρονοῦσι τῆς μαραινομένης καὶ ἔξωθεν ὡραιότητος, ἥτις ἐν χροιαῖς ἔχει τὸ ἀπατηλὸν καὶ κλεπτὸν τοὺς ὀφθαλμοὺς κατὰ τὰ ὑπὸ τῶν ζωγράφων ἐγχρωννύμενα ταῖς σανίσιν, ἀγάλματα ἢ μνήματα· σκόπει δὲ καὶ τὴν τοῦ πνεύματος σοφὴν ὄντως διάταξιν. λουτῆρα ἐκ τῶν κατόπτρων προσέταξεν, ἵνα δείξῃ σαφῶς ὡς ταῖς τὴν οὕτω μεγίστην ἀρετὴν ἐπιδειξαμέναις, καὶ τοιοῦτον δῶρον προσενεγκούσαις, λούτρον ἁμαρτιῶν καὶ ἄφεσιν ἀντιδέδωκεν.

x) ΣΑΜΑΡ. τῷ ὁράματι τῶν δυνάμεων τῶν ἰσχυσάντων ἐν θύρᾳ τῆς σκηνῆς τοῦ μαρτυρίου.

y) συνίστησιν ἡ γραφὴ λέγουσα ἐν τοῖς ἀριθμοῖς, παντὸς ἐρχομένου εἰς στρατίαν. στρατείαν γὰρ εἶπεν τὴν τῶν εἰς ἓν συνελθόντων σύνοδον εἰς τὴν κατασκευήν.

ἐξ αὐτοῦ καθάπερ συνέταξεν κύριος τῷ Μωϋσῇ·
XXXVIIII. πᾶν τὸ χρυσίον ὃ κατειργάσθη εἰς τὰ ἔρ-
γα, κατὰ πᾶσαν τὴν ἐργασίαν τῶν ἁγίων, ἐγέ-
νετο χρυσίου τοῦ τῆς ἀπαρχῆς, ἐννέα καὶ εἴκοσι τά-
λαντα καὶ ἑπτακόσιοι καὶ τριάκοντα σίκλοι κατὰ
τὸν σίκλον z) τὸν ἅγιον· καὶ ἀργυρίου ἀφαίρε-
μα παρὰ τῶν ἐπεσκεμμένων ἀνδρῶν τῆς συναγω-
γῆς, ἑκατὸν τάλαντα· καὶ χίλιοι καὶ ἑπτακόσιοι
καὶ ἑβδομήκοντα πέντε σίκλοι, δραχμὴ a) μία
τῇ κεφαλῇ τὸ ἥμισυ τοῦ σίκλου κατὰ τὸν σίκλον
τὸν ἅγιον· πᾶς ὁ παραπορευόμενος τὴν ἐπίσκεψιν
ἀπὸ εἰκοσαετοῦς καὶ ἐπ' ἄνω εἰς τὰς ἑξήκοντα μυ-
ριάδας, καὶ τρισχιλίους καὶ πεντακοσίους καὶ πεν-
τήκοντα· καὶ ἐγενήθη τὰ ἑκατὸν τάλαντα τοῦ ἀρ-
γυρίου εἰς τὴν χώνευσιν τῶν κεφαλίδων τῆς σκηνῆς,
καὶ εἰς τὰς κεφαλίδας τοῦ καταπετάσματος· ἑκα-
τὸν κεφαλίδες, εἰς τὰ ἑκατὸν τάλαντα, τάλαν-
τον τῇ κεφαλίδι καὶ τοὺς χιλίους ἑπτακοσίους ἑβδο-
*εν μήκοντα πέντε σίκλους, ἐποίησαν * εἰς τὰς ἀγκύ-
λας τῶν στύλων· καὶ κατεχρύσωσεν τὰς κεφαλί-
δας αὐτῶν, καὶ κατεκόσμησεν αὐτούς· καὶ ὁ χαλ-
κὸς τοῦ ἀφαιρέματος, τετρακόσια ἑβδομήκοντα
τάλαντα καὶ δισχίλιοι καὶ τετρακόσιοι σίκλοι·
*18 καὶ ἐποίησαν * ἐξ αὐτοῦ τὰς βάσεις τῆς θύρας
τῆς σκηνῆς τοῦ μαρτυρίου· καὶ τὰς βάσεις τῆς αὐ-
λῆς κύκλῳ, καὶ τὰς βάσεις τῆς πύλης τῆς αὐλῆς·
καὶ τοὺς πασσάλους τῆς σκηνῆς, καὶ τοὺς πασσά-
λους τῆς αὐλῆς κύκλῳ· καὶ τὸ παράθεμα τὸ
χαλκοῦν, κύκλῳ τοῦ θυσιαστηρίου, καὶ πάντα
τὰ σκεύη τοῦ θυσιαστηρίου, καὶ πάντα
τὰ ἐργαλεῖα τῆς σκηνῆς τοῦ μαρτυρίου·
καὶ

z) AK. στατῆρα. a) AK. δίδραχμον.

καὶ ἐποίησαν υἱοὶ Ἰσραὴλ καθὰ συνέταξεν κύριος τῷ ΓΖ
Μωϋσῇ, ἕτως ἐποίησαν· τὸ δὲ λοιπὸν χρυσίον
τῦ ἀφαιρέματος, ἐποίησαν σκεύη εἰς τὸ λειτυρ-
γεῖν ἐν αὐτοῖς, ἔναντι κυρίυ· καὶ τὴν καταλει-
φθεῖσαν ὑάκινθον καὶ πορφύραν καὶ τὸ κόκκινον,
ἐποίησαν ςολὰς λειτυργικὰς Ἀαρὼν, ὥςε λει-
τυργεῖν ἐν αὐταῖς ἐν τῷ ἁγίῳ· καὶ ἤνεγκαν τὰς
ςολὰς πρὸς Μωϋσῆν καὶ τὴν σκηνὴν καὶ τὰ σκέυη
αὐτῆς, καὶ τὺς μοχλὺς, καὶ τὺς ςύλυς, καὶ
τὰς βάσεις αὐτῆς, καὶ τὴν κιβωτὸν τῆς δια-
θήκης, καὶ τὰς διωςῆρας b) αὐτῆς, καὶ τὸ θυ-
σιαςήριον, καὶ πάντα τὰ σκέυη αὐτῦ, καὶ τὸ
ἔλαιον τῆς χρίσεως, καὶ τὸ θυμίαμα τῆς συν-
θέσεως, καὶ τὴν λυχνίαν τὴν καθαράν· καὶ τὺς
λύχνυς αὐτῆς, λύχνυς τῆς καύσεως, καὶ τὸ
ἔλαιον τῦ φωτός· καὶ τὴν τράπεζαν τῆς προθέ-
σεως, καὶ πάντα αὐτῆς τὰ σκέυη· καὶ τὺς ἄρ-
τυς c) τῆς προθέσεως καὶ τὰς ςολὰς τῦ ἁγίυ,
αἵ εἰσιν Ἀαρών· καὶ τὰς ςολὰς τῶν υἱῶν d)
αὐτῦ εἰς τὴν ἱερατείαν, καὶ τὰ ἱςία τῆς αὐλῆς,
καὶ τὺς ςύλυς, καὶ τὰς βάσεις αὐτῆς, καὶ τὸ
καταπέτασμα τῆς θύρας τῆς σκηνῆς, καὶ τῆς
πύλης τῆς αὐλῆς, καὶ πάντα τὰ σκέυη τῆς
σκηνῆς, καὶ πάντα τὰ ἐργαλεῖα αὐτῆς, καὶ
τὰς διφθέρας δέρματα κριῶν ἠρυθροδανώμενα,
καὶ τὰ καλύμματα, δέρματα ὑακίνθινα, καὶ τῶν
λοιπῶν τὰ ἐπικαλύμματα, καὶ τὺς πασσάλυς, καὶ
πάντα τὰ ἐργαλεῖα τὰ εἰς τὰ ἔργα τῆς σκη-
νῆς τῦ μαρτυρίυ, ὅσα συνέταξεν κύριος τῷ
Μωϋσῇ, ἕτως ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ, πᾶ*σαν *19
τὴν κατασκευήν· καὶ ἴδεν Μωϋσῆς πάντα τὰ



b) οἱ Λ. ἀναφορεῖς. c) τὺς προκειμένυς.

ἔργα, καὶ ἦσαν πεποιηκότες e) αὐτὰ, ὃν τρόπον
συνέταξεν κύριος τῷ Μωϋσῇ, ὅτως ἐποίησαν αὐ-
ΡΗ τά· καὶ ηὐλόγησεν αὐτὲς Μωϋσῆς·
ΠΔ XXXX. 1 Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν λέγων·
2 ἐν ἡμέρᾳ μιᾷ τῦ μηνὸς τῦ πρώτῦ, νεμηνίᾳ
ςήσεις τὴν σκηνὴν τῦ μαρτυρίε, 3 καὶ θήσεις τὴν
κιβωτὸν τῦ μαρτυρίε· καὶ σκεπάσεις τὴν κι-
βωτὸν τῷ καταπετάσματι, 4 καὶ εἰσοίσεις τὴν
τράπεζαν καὶ προθήσεις τὴν πρόθεσιν αὐτῆς·
καὶ εἰσοίσεις τὴν λυχνίαν, καὶ ἐπιθήσεις τὲς
λύχνες αὐτῆς, 5 καὶ θήσεις τὸ θυσιαςήριον τὸ
CH χρυσῦν εἰς τὸ θυμιᾶν ἐνώπιον τῆς κιβωτῦ τῦ
μαρτυρίε· καὶ θήσεις τὸ κάλυμμα τῦ κα-
ταπετάσματος, ἐπὶ τὴν θύραν τῆς σκηνῆς τῦ
μαρτυρίε· 6 καὶ τὸ θυσιαςήριον τῶν καρπωμά-
των θήσεις παρὰ τὴν θύραν τῆς σκηνῆς τῦ μαρ-
τυρίε, καὶ περιθήσεις τὴν αὐλὴν f) κύκλῳ·
7 καὶ λήψῃ τὸ ἔλαιον τῦ χρίσματος, καὶ χρί-
σεις τὴν σκηνὴν, καὶ πάντα τὰ ἐν αὐτῇ, καὶ
ἁγιάσεις αὐτὴν, καὶ πάντα τὰ σκεύη αὐτῆς, καὶ
ἔςαι ἅγια· 8 καὶ χρίσεις τὸ θυσιαςήριον τῶν
ΡΘ καρπωμάτων, καὶ πάντα αὐτῦ τὰ σκεύη, καὶ
ἁγιάσεις τὸ θυσιαςήριον, καὶ ἔςαι τὸ θυσια-
ςήριον ἅγιον τῶν ἁγίων· 9 καὶ προσάξεις Ἀα-
ρὼν καὶ τὲς υἱὲς αὐτῦ ἐπὶ τὰς θύρας τῆς σκη-
νῆς τῦ μαρτυρίε, καὶ λέσεις αὐτὲς ὕδατι,
10 καὶ ἐνδύσεις Ἀαρὼν τὰς ςολὰς τὰς ἁγίας,
καὶ

ΠΔ ΠΕΡΙ ΤΗC ΗΜΕΡΑC ΕΝ Η ΑΝΕCΤΑΤΑΙ Η CΚΗΝΗ.

e) τὸ πνεῦμα γὰρ ἦν τὸ θεῖον τὸ σοφίσαν αὐτὲς, ποιεῖν ἃ ἐκ ἴδον.

f) σκηνὴν καὶ πάντα ἐν αὐτῇ ἁγιάσεις.

καὶ χρίσεις αὐτὸν, καὶ ἁγιάσεις αὐτὸν, καὶ ἱε-
ρατεύσει μοι· [11] καὶ τοὺς υἱοὺς αὐτοῦ προσάξεις,
καὶ ἐνδύσεις αὐτοὺς χιτῶνας, [12] καὶ ἀλείψεις αὐ-
τοὺς, ὃν τρόπον ἤλειψας τὸν πατέρα αὐτῶν, καὶ
ἱερατεύσουσίν μοι· καὶ ἔσται ὥστε εἶναι αὐ-
τοῖς χρίσμα ἱερατείας εἰς τὸν αἰῶνα, εἰς τὰς γε-
νεὰς αὐτῶν· [13] καὶ ἐποίησεν Μωϋσῆς πάντα
Ὅσα συνέταξεν αὐτῷ κύριος, οὕτως ἐποίησεν· [14] καὶ
ἐγένετο * ἐν τῷ μηνὶ τῷ πρώτῳ, τῷ δευτέρῳ* 20
ἔτει, ἐκπορευομένων αὐτῶν ἐξ Αἰγύπτου νουμηνίᾳ,
ἐστάθη ἡ σκηνὴ, [15] καὶ ἔστησεν Μωϋσῆς τὴν σκη-
νὴν, καὶ ἐπέθηκεν τὰς κεφαλίδας αὐτῆς καὶ διεν-
έβαλεν τοὺς μοχλοὺς, καὶ ἔστησεν τοὺς στύλους
αὐτῆς, [16] καὶ ἐξέτεινεν τὰς αὐλαίας ἐπὶ τὴν
σκηνὴν, καὶ ἐπέθηκεν τὸ κατακάλυμμα τῆς σκη-
νῆς ἐπ' αὐτὴν ἄνωθεν, καθὰ συνέταξεν κύριος
τῷ Μωϋσῇ· [17] καὶ λαβὼν τὰ μαρτύρια, ἐνέ-
βαλεν εἰς τὴν κιβωτὸν, καὶ ὑπέθηκεν τοὺς διω-
στῆρας ὑπὸ τὴν κιβωτὸν, [18] καὶ εἰσήνεγκεν τὴν
κιβωτὸν εἰς τὴν σκηνήν· καὶ ἐπέθηκεν
τὸ κατακάλυμμα τοῦ καταπετάσματος, καὶ
ἐσκέπασεν τὴν κιβωτὸν τοῦ μαρτυρίου,
ὃν τρόπον συνέταξεν κύριος τῷ Μωϋσῇ·
[19] καὶ ἔθηκεν τὴν τράπεζαν εἰς τὴν σκηνὴν τοῦ μαρ-
τυρίου, ἐπὶ g) τὸ κλίτος τῆς σκηνῆς τοῦ μαρτυ-
ρίου τὸ πρὸς βορρᾶν, ἔξωθεν τοῦ καταπετάσμα-
τος τῆς σκηνῆς· [20] καὶ προέθηκεν ἐπ' αὐτῆς ἄρ-
τους τῆς προθέσεως, ἔναντι κυρίου, ὃν τρόπον
συνέταξεν h) κύριος τῷ Μωϋσῇ· [21] καὶ ἔθηκεν τὴν
λυχνίαν εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, εἰς τὸ κλί-
τος τῆς σκηνῆς τὸ πρὸς νότον· [22] καὶ ἐπέθηκεν

B 5 τοὺς

g) εἰς. h) ἐνετείλατο.

τοὺς λύχνους αὐτῆς, ἔναντι κυρίου, ὃν τρόπον συν-
έταξεν κύριος τῷ Μωϋσῇ· [23] καὶ ἔθηκεν τὸ θυ-
σιαστήριον τὸ χρυσοῦν, ἐν τῇ σκηνῇ τοῦ μαρτυ-
ρίου, ἀπέναντι τοῦ τοῦ καταπετάσματος· [24] καὶ
ἐθυμίασεν ἐπ᾽ αὐτοῦ θυμίαμα τῆς συνθέσεως,
ὃν τρόπον συνέταξεν κύριος τῷ Μωϋσῇ· [25] καὶ
τὸ θυσιαστήριον τῶν καρπωμάτων, ἔθηκεν παρὰ
τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου, [26] καὶ ἔστη-
σεν τὴν αὐλὴν, κύκλῳ τῆς σκηνῆς καὶ τοῦ θυ-
σιαστηρίου·
PI καὶ συνετέλεσεν Μωϋσῆς, πάντα τὰ ἔργα, [27] καὶ
ἐκάλυψεν ἡ νεφέλη τὴν σκηνὴν τοῦ μαρτυρίου,
καὶ δόξης κυρίου ἐπλήσθη ἡ σκηνή· [28] καὶ οὐκ ἠδυ-
νήθη Μωϋσῆς εἰσελθεῖν εἰς τὴν σκηνὴν
τοῦ μαρτυρίου, ὅτι ἐπεσκίαζεν ἐπ᾽ αὐτὴν
*21 ἡ νεφέλη, καὶ δόξης κυρίου ἐπλή*σθη ἡ
σκηνή· [29] ἡνίκα δ᾽ ἂν ἀνέβη ἡ νεφέλη
ἀπὸ τῆς σκηνῆς, ἀνεζεύγνυσαν οἱ υἱοὶ Ἰσραὴλ σὺν
τῇ ἀπαρτίᾳ αὐτῶν· [30] εἰ δὲ μὴ ἀνέβη ἡ νεφέ-
λη, οὐκ ἀνεζεύγνυσαν ἕως τῆς ἡμέρας, ἧς ἀνέβη
ἡ νεφέλη· [31] νεφέλη γὰρ ἦν, ἐπὶ τῆς σκηνῆς
ἡμέρας· καὶ πῦρ ἦν ἐπ᾽ αὐτῆς νυκτὸς, ἐναν-
τίον παντὸς Ἰσραὴλ, ἐν πάσαις ταῖς ἀναζυγαῖς
αὐτῶν.

Ε Ξ Ο Δ Ο Σ

# ΛΕΥΙΤΙΚΟΝ

I. [1] Καὶ ἀνεκάλεσεν Μωϋσῆν, καὶ ἐλάλησεν κύριος A
αὐτῷ ἐκ τῆς σκηνῆς τοῦ μαρτυρίου λέγων· [2] λά-
λησον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐτούς·
ἄνθρωπος [a]) ἐξ ὑμῶν, ἐὰν προσαγάγῃ δῶ-
ρα [b]) τῷ κυρίῳ, ἀπὸ τῶν κτηνῶν, ἀπὸ τῶν
βοῶν, καὶ ἀπὸ τῶν προβάτων, προσοίσετε τὰ
δῶρα ὑμῶν· [3] ἐὰν ὁλοκαύτωμα τὸ δῶρον αὐτοῦ
ἐκ τῶν βοῶν, ἄρσεν ἄμωμον προσάξει αὐτὸ
πρὸς τὴν θύραν [c]) τῆς σκηνῆς τοῦ μαρτυρίου,
προσοίσει αὐτὸ δεκτὸν ἔναντι κυρίου· [4] καὶ ἐπι-
θήσει [d]) τὴν χεῖρα ἐπὶ τὴν κεφαλὴν τοῦ καρ-
πώματος [e]), δεκτὸν αὐτῷ, ἐξιλάσασθαι περὶ αὐ-
τοῦ· [5] καὶ σφάξουσιν τὸν μόσχον [f]) ἔναντι κυ-
ρίου, καὶ προσοίσουσιν οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς τὸ
αἷμα, καὶ προσχεοῦσι [g]) τὸ αἷμα, ἐπὶ τὸ θυ-
σιαστήριον κύκλῳ τὸ ἐπὶ τῶν θυρῶν τῆς σκηνῆς
τοῦ

A ΝΟΜΟΙ ΠΕΡΙ ΔΩΡΩΝ ΠΡΟΣΑΓΟΜΕΝΩΝ ΘΕΩ.

a) τίς ἐξ αὐτῶν ἄνθρωπος, διὰ τὸ ἐξώνυχον τὸ κατὰ σάρκα ἐπίσκεψε.

b) ΑΚ. ΣΤ. οἱ Λ. προσφοράν.

c) τήρει ὅτι τὸ μὲν μοσχάριον προσάγεται πρὸς τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου ἔναντι κυρίου καὶ σφάζεται ἔναντι κυρίου· ἀρνεῖον δὲ καὶ ἔριφος σφάζονται ἐκ πλαγίων τοῦ θυσιαστηρίου πρὸς βοῤῥᾶν ἔναντι κυρίου· τῶν δὲ τρυγόνων καὶ τῶν περιστεριδέων πρόβολος, καὶ πτερὰ ἐκβάλλεται παρὰ τὸ θυσιαστήριον κατ' ἀνατολάς.

d) ἐπιθήσει τὴν χεῖρα τῇ κεφαλῇ τοῦ καρπώματος, ὁ τὰ ἔργα σύμφωνα ἔχων ταῖς ἁγίαις εὐχαῖς.

e) ὁλοκαυτώματος. f) υἱοὶ τοῦ βουκολίου.

g) ἀκοντίζουσιν.

τοῦ μαρτυρίου· 6 καὶ δείραντες τὸ ὁλοκαύτωμα,
μελιοῦσιν αὐτὸ κατὰ μέλη· 7 καὶ ἐπιθήσουσιν h)
οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς πῦρ ἐπὶ τὸ θυσιαστή-
ριον, 8 καὶ στοιβάσουσιν ξύλα ἐπὶ τὸ πῦρ, καὶ
ἐπιστοιβάσουσιν οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς τὰ δι-
χοτομήματα i) καὶ τὴν κεφαλὴν καὶ τὸ στέαρ k)
ἐπὶ τὰ ξύλα τὰ ἐπὶ τοῦ πυρὸς τὰ ὄντα ἐπὶ τοῦ
θυσιαστηρίου· 9 τὰ δὲ ἐγκοίλια l) καὶ τοὺς πό-
δας, πλυνοῦσιν m) ὕδατι· καὶ ἐπιθήσει ὁ ἱερεὺς
τὰ πάντα ἐπὶ τὸ θυσιαστήριον, κάρπωμα ἐστιν
θυσία n) ὀσμὴ εὐωδίας o) κυρίῳ· 10 ἐὰν δὲ
*22 ἀπὸ τῶν προβάτων p) τὸ δῶ*ρον αὐτοῦ τῷ κυ-
ρίῳ, ἀπό τε τῶν ἀρνῶν, καὶ τῶν ἐρίφων, εἰς
ὁλοκαύτωμα, ἄρσεν ἄμωμον προσάξει αὐτό·
11 καὶ ἐπιθήσει τὴν χεῖρα ἐπὶ τὴν κεφαλὴν αὐ-
τοῦ, καὶ σφάξουσιν αὐτὸ ἐκ πλαγίων q) τοῦ θυ-
σιαστηρίου, πρὸς βοῤῥᾶν ἔναντι κυρίου· καὶ προσ-
χεοῦσιν οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς τὸ αἷμα αὐτοῦ,
ἐπὶ τὸ θυσιαστήριον κύκλῳ, 12 καὶ διελοῦσιν r)
αὐτὸ κατὰ μέλη, καὶ τὴν κεφαλὴν καὶ τὸ στέαρ,
καὶ ἐπιστοιβάσουσιν αὐτὰ οἱ ἱερεῖς ἐπὶ τὰ ξύλα
ἐπὶ τοῦ πυρὸς τὰ ἐπὶ τοῦ θυσιαστηρίου· 13 καὶ τὰ
ἐγκοίλια καὶ τοὺς πόδας, s) πλυνοῦσιν ὕδατι·
καὶ προσοίσει ὁ ἱερεὺς τὰ πάντα, καὶ ἐπιθήσει

ἐπὶ

h) στοιβάσουσιν. i) μέλη.
k) σῶμα. l) ἔγκατα.
m) πλυνεῖ τὰ ἐγκοίλια ὁ ἐσθίων καὶ πίνων εἰς δόξαν θεοῦ· πᾶς δὲ οὗ ὁ θεὸς ἡ κοιλία, οὐ πλύνει τὰ ἐγκοίλια.
n) ΑΚ. ΣΥ. δῶρον.
o) ΑΚ. ΣΥ. ἀναπαύσεως. ΘΕ. εὐαρεστήσεως.
p) τοῦ ποιμνίου. q) ΑΚ. ἐπιμηρόν.
r) μελιοῦσιν. s) τὰ σκέλη.

ἐπὶ τὸ θυσιαστήριον, κάρπωμά t) ἐστιν θυσία ὀσμὴ
εὐωδίας κυρίῳ. [14] ἐὰν δὲ ἀπὸ τῶν πετεινῶν, κάρπωμα
προσφέρῃ, δῶρον τῷ κυρίῳ, καὶ προσοίσει ἀπὸ Γ
τῶν τρυγόνων, ἢ ἀπὸ τῶν u) περιστερῶν x) τὸ
δῶρον αὐτοῦ. [15] καὶ προσοίσει ὁ ἱερεὺς ἐπὶ τὸ θυ-
σιαστήριον, καὶ ἀποκνίσει y) τὴν κεφαλὴν αὐτοῦ.
καὶ ἐπιθήσει ὁ ἱερεὺς ἐπὶ τὸ θυσιαστήριον, καὶ
στραγγιεῖ τὸ αἷμα πρὸς τὴν βάσιν z) τοῦ θυ-
σιαστηρίου, [16] καὶ ἀφελεῖ τὸν πρόλοβον a) σὺν
τοῖς πτεροῖς, b) καὶ ἐκβαλεῖ αὐτὰ παρὰ τὸ
θυσιαστήριον κατὰ ἀνατολὰς, εἰς τὸν τόπον τῆς
σποδοῦ. [17] καὶ ἐκκλάσει c) αὐτὸ ὁ ἱερεὺς ἐπὶ τὸ
θυσιαστήριον ἐπὶ τὰ ξύλα τὰ ἐπὶ τοῦ πυρὸς,
κάρπωμά ἐστιν θυσία, ὀσμὴ εὐωδίας κυρίῳ.
II. [1] Ἐὰν δὲ ψυχὴ προσφέρῃ δῶρον θυσίαν τῷ κυ- Δ
ρίῳ, σεμίδαλις ἔσται τὸ δῶρον d) αὐτοῦ. καὶ ἐπι-
χεεῖ ἐπ᾽ αὐτὸ ἔλαιον, καὶ ἐπιθήσει ἐπ᾽ αὐτὸ
λίβανον θυσία ἐστίν. e) [2] καὶ οἴσει πρὸς τοὺς
υἱοὺς Ἀαρὼν τοὺς ἱερεῖς, καὶ δραξάμενος ἀπ᾽ αὐ-
τῆς, πλήρη τὴν δράκα ἀπὸ τῆς σεμιδάλεως, σὺν
τῷ ἐλαίῳ, καὶ πάντα τὸν λίβανον αὐτῆς, καὶ
ἐπιθήσει ὁ ἱερεὺς τὸ μνημόσυνον αὐτῆς, ἐπὶ τὸ
θυσιαστήριον, θυσία ὀσμὴ εὐωδίας τῷ κυ-
ρίῳ. [3] καὶ τὸ λοιπὸν τὸ ἀπὸ τῆς θυσίας
Ἀαρὼν, καὶ τοῖς υἱοῖς αὐτοῦ, * ἅγιον τῶν* 23
ἁγίων

t) ὁλοκαύτωμα. u) υἱῶν τῆς περιστερᾶς.
x) ὃ δεῖ λέγειν περιστεριδέων, δηλοῖ Σύμμαχος τῶν περιστερῶν τοὺς νεοττούς.
y) ἀνακλάσει. z) τὸν τοῖχον.
a) ΑΚ. ΣΥ. τὴν σιτίζουσαν. ΘΕ. τὴν ὀσφὺν ἣν ἡμεῖς καλοῦμεν φῦσαν.
b) ἅμα τῷ σπορῷ αὐτοῦ. c) διχάσει.
d) ἡ προσφορά. e) κάρπωσις.

ἁγίων ἀπὸ τῶν θυσιῶν κυρίου· f) 4 ἐὰν δὲ προσ-
E φέρῃ δῶρον, θυσίαν πεπεμμένην ἐν κριβάνῳ, ἐκ σε-
μιδάλεως, ἄρτους g) ἀζύμους πεφυραμένους ἐν
ἐλαίῳ, καὶ λάγανα ἄζυμα, διακεχρισμένα ἐν
ἐλαίῳ·
S 5 Ἐὰν δὲ θυσία ἀπὸ τηγάνου τὸ δῶρόν σου, σεμί-
δαλις πεφυραμένη ἐν ἐλαίῳ, ἄζυμα ἔσται· 6 καὶ
διαθρύψεις αὐτὰ κλάσματα, h) καὶ ἐπι-
χεεῖς ἐπ' αὐτὰ ἔλαιον· θυσία ἐστὶν κυ-
ρίῳ· 7 ἐὰν δὲ θυσία ἀπὸ ἐσχάρας τὸ δῶ-
Z ρόν σου, σεμίδαλις ἐν ἐλαίῳ ποιηθήσεται· 8 καὶ
προσοίσει τὴν θυσίαν, ἣν ἂν ποιήσῃ ἐκ τούτων
τῷ κυρίῳ, καὶ προσοίσει πρὸς τὸν ἱερέα· 9 καὶ
προσεγγίσας πρὸς τὸ θυσιαστήριον, ἀφελεῖ ὁ
ἱερεὺς ἀπὸ τῆς θυσίας τὸ μνημόσυνον αὐτῆς·
καὶ ἐπιθήσει ὁ ἱερεὺς ἐπὶ τὸ θυσιαστήριον, κάρ-
πωμα i) ὀσμὴν εὐωδίας τῷ κυρίῳ· 10 τὸ δὲ
καταλειφθὲν ἀπὸ τῆς θυσίας Ἀαρὼν καὶ τοῖς
υἱοῖς αὐτοῦ, ἅγια τῶν ἁγίων ἀπὸ τῶν καρπωμά-
CH των κυρίου· 11 πᾶσαν θυσίαν ἣν ἂν προσφέ-
ρητε τῷ κυρίῳ, οὐ ποιήσετε ζυμωτόν· πᾶσαν γὰρ
ζύμην καὶ πᾶν μέλι, οὐ προσοίσετε ἀπ' αὐτοῦ
καρπῶσαι τῷ κυρίῳ, δῶρον 12 ἀπ' ἀρχῆς προσοί-
σετε αὐτὰ κυρίῳ· ἐπὶ δὲ τὸ θυσιαστήριον οὐκ
ἀναβιβασθήσεται εἰς ὀσμὴν εὐωδίας κυρίῳ· 13 καὶ
πᾶν δῶρον θυσίας ὑμῶν, ἁλὶ ἁλισθήσεται k) οὐ δια-
παύσετε

f) AK. ἀπὸ πυρῶν κυρίου. CT. ἀπὸ τῶν καρπωμάτων κυρίου. ΘE. ἀπὸ τῶν τοῦ πυρὸς κυρίου.

g) κολλυρίδας ἁπαλάς.

h) οἱ Λ. ψωμούς.

i) AK. ΘE. πυρόν.

k) τὸ ἄναλον οὐ προσίεται κύριος, δι' ὃ ἵνα προσδέξηται ἡμῶν τὸ δῶρον, ἄξιοι γενώμεθα τοῦ ἀκοῦσαι, ὑμεῖς ἐστὲ τὸ ἅλας τῆς γῆς.

παύσετε ἅλας διαθήκης κυρίϰ, ἀπὸ θυσιασμά-
των ὑμῶν, ἐπὶ παντὸς δώρϰ ὑμῶν προσοίσετε ἅλας·
14 Ἐὰν δὲ προσφέρῃς θυσίαν πρωτογενημάτων τῷ H
κυρίῳ, νέα l) πεφρυγμένα m) χίδρα ἐρεικτὰ τῷ
κυρίῳ, καὶ προσοίσεις τὴν θυσίαν τῶν πρωτογε-
νημάτων, 15 καὶ ἐπιχεεῖς ἐπ' αὐτὴν ἔλαιον καὶ ἐπι-
θήσεις ἐπ' αὐτὴν λίβανον, θυσία ἐςίν· 16 καὶ
ἀνοίσει n) ὁ ἱερεὺς τὸ μνημόσυνον αὐτῆς, ἀπὸ
τῶν χίδρων o) σὺν τῷ ἐλαίῳ, καὶ πάν-
τα τὸν λίβανον αὐτῆς, κάρπω*μά ἐςιν τῷ *24
κυρίῳ· III. 1 Ἐὰν δὲ θυσία p) σωτηρίϰ τὸ
δῶρον αὐτϰ τῷ κυρίῳ, ἐὰν μὲν ἐκ τῶν βοῶν αὐτὸ Γ
προσαγάγῃ, ἐάν τε ἄρσεν, ἐάν τε θῆλυ, ἄμω-
μον προσάξει αὐτὸ ἔναντι κυρίϰ· 2 καὶ ἐπιθήσει
τὰς χεῖρας αὐτϰ ἐπὶ τὴν κεφαλὴν τϰ δώρϰ, καὶ
σφάξει αὐτὸ παρὰ τὰς θύρας τῆς σκηνῆς τϰ μαρ-
τυρίϰ· καὶ προσχεϰσιν οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς τὸ
αἷμα ἐπὶ τὸ θυσιαςήριον τῶν ὁλοκαυτωμάτων κύ-
κλῳ, 3 καὶ προσάξϰσιν ἀπὸ τῆς θυσίας q)
τϰ σωτηρίϰ κάρπωμα r) κυρίῳ, τὸ ςέαρ τὸ κα-
τακαλύπτον τὴν κοιλίαν· καὶ πᾶν τὸ ςέαρ τὸ
ἐπὶ τῆς κοιλίας, 4 καὶ τὰς δύο νεφρὰς, καὶ τὸ
ςέαρ τὸ ἐπ' αὐτῶν τὸ ἐπὶ τῶν μηρίων, s) καὶ τὸν
λοβὸν τὸν ἐπὶ τϰ ἥπατος σὺν τοῖς νεφροῖς περιε-
λεῖ· 5 καὶ ἀνοίσϰσιν αὐτὰ οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς
ἐπὶ τὸ θυσιαςήριον ἐπὶ τὰ ὁλοκαυτώματα ἐπὶ τὰ
ξύλα

Γ ΠΕΡΙ ΘΥΣΙΑΣ ΣΩΤΗΡΙΟΥ.

l) ΑΚ. ΣΥ. ἁπαλόν. ΘΕ. πίον.
m) ΑΚ. ΣΥ. πεφρυγμένα πυρί.
n) ἐπιθήσει. o) ἀλφιτῶν.
p) οἱ Λ. εἰρηνικῶν. q) τῆς τελειότητος.
r) πυρόν. s) λαγόνων.

ξύλα τὰ ἐπὶ τοῦ πυρὸς, κάρπωμα ὀσμὴ εὐωδίας τῷ
κυρίῳ· 6 Ἐὰν δὲ ἀπὸ τῶν προβάτων τὸ δῶρον
I αὐτοῦ, θυσίαν t) σωτηρίου τῷ κυρίῳ, ἄρσεν ἢ θῆ-
λυ, ἄμωμον προσοίσει αὐτό· 7 ἐὰν ἄρνα, u)
προσαγάγῃ τὸ δῶρον αὐτοῦ, προσάξει αὐτὸ ἔναντι
κυρίου· 8 καὶ ἐπιθήσει τὰς χεῖρας ἐπὶ τὴν κεφα-
λὴν τοῦ δώρου αὐτοῦ, καὶ σφάξουσιν αὐτὸ x) παρὰ
τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου καὶ προσχεοῦ-
σιν οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς τὸ αἷμα ἐπὶ τὸ θυσια-
στήριον κύκλῳ, 9 καὶ προσοίσει ἀπὸ τῆς θυσίας
τοῦ σωτηρίου, y) κάρπωμα τῷ κυρίῳ· τὸ στέαρ
ἄμωμον z) καὶ τὴν ὀσφῦν, σὺν ταῖς ψύαις a)
περιελεῖ αὐτὸ, καὶ πᾶν τὸ στέαρ τὸ κατακαλύπτον
τὴν κοιλίαν, καὶ πᾶν τὸ στέαρ τὸ ἐπὶ τῆς κοιλίας,
10 καὶ ἀμφοτέρους τοὺς νεφροὺς, καὶ τὸ στέαρ τὸ ἐπ᾽
αὐτῶν τὸ ἐπὶ τῶν μηρίων, b) καὶ τὸν λοβὸν τὸν
ἐπὶ τοῦ ἥπατος, σὺν τοῖς νεφροῖς περιελὼν, 11 ἀνοίσει
ὁ ἱερεὺς ἐπὶ τὸ θυσιαστήριον, ὀσμὴν εὐωδίας κάρπωμα
τῷ κυρίῳ· 12 Ἐὰν δὲ ἀπὸ τῶν αἰγῶν τὸ δῶρον αὐ-
IA τοῦ τῷ κυρίῳ, καὶ προσάξει ἔναντι κυρίου, 13 καὶ ἐπι-
*25 θήσει τὰς * χεῖρας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ
σφάξουσιν αὐτὸ ἔναντι κυρίου, παρὰ τὰς θύρας
τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ προσχεοῦσιν οἱ υἱοὶ
Ἀαρὼν οἱ ἱερεῖς τὸ αἷμα ἐπὶ τὸ θυσιαστήριον κύ-
κλῳ, 14 καὶ ἀνοίσει c) ἀπ᾽ αὐτοῦ κάρπωμα τῷ
κυρίῳ· τὸ στέαρ τὸ κατακαλύπτον τὴν κοιλίαν,
καὶ πᾶν τὸ στέαρ τὸ ἐπὶ τῆς κοιλίας, 15 καὶ
τοὺς

t) οἱ Λ. εἰς θυσίαν εἰρηνικήν.
u) ΑΚ. ἀμνόν. ΣΥ. πρόβατον.
x) κατὰ πρόσωπον.
y) τῆς τελειότητος, τῶν εἰρηνικῶν.
z) ὁλόκληρον. a) ἐν ἰσότητι τῶν ψυῶν.
b) ὀσφύων. c) προσάξει.

τοὺς δύο d) νεφροὺς, καὶ πᾶν τὸ στέαρ τὸ ἐπ᾽
αὐτῶν τὸ ἐπὶ τῶν μηρίων, καὶ τὸν λοβὸν τὸν
ἐπὶ τοῦ ἥπατος σὺν τοῖς νεφροῖς περιελεῖ· 16 καὶ
ἀνοίσει ὁ ἱερεὺς ἐπὶ τὸ θυσιαστήριον, κάρ-
πωμα e) ὀσμὴν εὐωδίας τῷ κυρίῳ· πὰν
τὸ στέαρ τῷ κυρίῳ 17 νόμιμον εἰς τὸν αἰῶ-
να εἰς τὰς γενεὰς ὑμῶν, ἐν πάσῃ κατοι-
κίᾳ ὑμῶν, πὰν τὸ στέαρ καὶ πᾶν αἷμα οὐκ ἔδε-
σθε· IIII. 1 καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν
Λέγων· 2 λάλησον πρὸς τοὺς υἱοὺς Ἰσραὴλ λέγων· Δ
ψυχὴ ἐὰν ἁμάρτῃ ἔναντι κυρίου ἀκουσίως f), ἀπὸ
πάντων τῶν προσταγμάτων g) κυρίου, ὧν οὐ δεῖ
ποιεῖν, καὶ ποιήσῃ ἕν τι ἀπ᾽ αὐτῶν· 3 ἐὰν μὲν ὁ
ἀρχιερεὺς h) ὁ κεχρισμένος i) ἁμάρτῃ τοῦ τὸν
λαὸν k) ἁμαρτεῖν, καὶ προσάξει περὶ τῆς ἁμαρ-
τίας αὐτοῦ, ἧς ἥμαρτεν μόσχον l) ἐκ βοῶν,
ἄμωμον τῷ κυρίῳ περὶ τῆς ἁμαρτίας m)· 4 καὶ
προσάξει τὸν μόσχον παρὰ τὴν θύραν τῆς σκη-
νῆς τοῦ μαρτυρίου ἔναντι κυρίου, καὶ ἐπιθήσει τὴν
χεῖρα αὐτοῦ, ἐπὶ τὴν κεφαλὴν τοῦ μόσχου ἔναντι
κυρίου· καὶ σφάξει τὸν μόσχον ἐνώπιον κυρίου,
5 καὶ λαβὼν n) ὁ ἱερεὺς ὁ χριστὸς ὁ τετελειω-
μένος

Δ ΠΕΡΙ ΘΥΣΙΩΝ ΤΩΝ ΠΕΡΙ ΑΜΑΡΤΙΑΣ.

d) ἀμφοτέρους.
e) ἄρτον πυρὸν
ἄρτον προσφορὰν.
f) AK. CY. ἐν ἀγνοίᾳ. g) ἐντολῶν.
h) ὡς παρὰ τὸν ἀρχιερέα ἁμαρτάνοντος τοῦ λαοῦ ποτὲ, ὅπερ ζη-
τήσεις, πῶς ἐκλήψῃ ἐπὶ τοῦ ἀληθινοῦ ἀρχιερέως.
i) ὁ ἀλιφθείς. k) ἐν ἁμαρτίᾳ τοῦ λαοῦ.
l) μοσχόταυρον. m) εἰς τὴν ἁμαρτίαν.
n) καὶ μετὰ τὸ ἁμαρτεῖν τὸν ἀρχιερέα, τοῦ τὸν λαὸν ἁμαρτεῖν,
ἐστιν ἱερεὺς, καὶ τετελειωμένος τὰς χεῖρας, καὶ οὐκ ἀτε-
λὴς αὐτάς.

μένος o) τὰς χεῖρας ἀπὸ τοῦ αἵματος τοῦ μό-
σχου· καὶ εἰσοίσει αὐτὸ εἰς τὴν σκηνὴν τοῦ μαρ-
τυρίου, 6 καὶ βάψει ὁ ἱερεὺς τὸν δάκτυλον εἰς τὸ
αἷμα, καὶ προσρανεῖ ἀπὸ τοῦ αἵματος ἑπτάκις
τῷ δακτύλῳ ἔναντι κυρίου, κατὰ τὸ πέτασμα
τὸ ἅγιον· 7 καὶ ἐπιθήσει ὁ ἱερεὺς ἀπὸ τοῦ αἵ-
ματος τοῦ μόσχου, ἐπὶ τὰ κέρατα τοῦ θυσιαστη-
ρίου τοῦ θυμιάματος τῆς συνθέσεως p) τοῦ ἔναντι
κυρίου, ὅ ἐστιν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου· καὶ πᾶν
*26 τὸ αἷμα τοῦ μόσχου ἐκ*χεεῖ παρὰ τὴν βά-
σιν q) τοῦ θυσιαστηρίου τῆς ὁλοκαυτώσεως, ὅ ἐστιν
παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου· 8 καὶ
πᾶν τὸ στέαρ τοῦ μόσχου τοῦ τῆς ἁμαρτίας r),
περιελεῖ ἀπ' αὐτοῦ τὸ στέαρ τὸ κατακαλύπτον τὰ
ἐντόσθια, καὶ πᾶν τὸ στέαρ τὸ ἐπὶ τῶν ἐντοσθίων
9 καὶ τοὺς δύο νεφροὺς, καὶ τὸ στέαρ τὸ ἐπ' αὐ-
τῶν ὅ ἐστιν ἐπὶ τῶν μηρίων s), καὶ τὸν λοβὸν
τὸν ἐπὶ τοῦ ἥπατος σὺν τοῖς νεφροῖς περιελεῖ αὐ-
τὸ, 10 ὃν τρόπον ἀφαιρεῖται t) ἀπὸ τοῦ μόσχου
τοῦ τῆς θυσίας τοῦ σωτηρίου u), καὶ ἀνοίσει ὁ
ἱερεὺς ἐπὶ τὸ θυσιαστήριον τῆς καρπώσεως*), 11 καὶ
τὸ δέρμα τοῦ μόσχου, καὶ πᾶσαν αὐτοῦ τὴν σάρ-
κα σὺν τῇ κεφαλῇ αὐτοῦ, καὶ τοῖς ἀκρωτηρίοις,
καὶ τῇ κοιλίᾳ καὶ τῇ κόπρῳ, 12 καὶ ἐξοίσουσιν
ὅλον τὸν μόσχον ἔξω τῆς παρεμβολῆς, εἰς τό-
πον καθαρὸν, οὗ ἐκχεοῦσιν τὴν σποδιὰν, καὶ κατα-
καύσουσιν αὐτὸν ἐπὶ ξύλων ἐν πυρὶ ἐπὶ τῆς
ἐκχύσεως τῆς σποδιᾶς καυθήσεται·

13 Ἐὰν

o) οὐ τετελείωται ὁ τόπος.
p) τῶν ἀρωμάτων.
q) ἐπὶ τὸν θεμέλιον.
r) τοῦ ἱλασμοῦ.
s) λαγόνων.
t) ὑψοῦται.
u) τῶν εἰρηνικῶν τελειότητος.
*) ὁλοκαύτωμα.

13 Ἐὰν δὲ πᾶσα συναγωγὴ x) υἱῶν Ἰσραὴλ ἀγνοή- ΙΓ
ση y), καὶ λάθῃ ῥῆμα ἐξ ὀφθαλμῶν τῆς συνα-
γωγῆς, καὶ ποιήσωσιν μίαν ἀπὸ πασῶν τῶν ἐν-
τολῶν κυρίȣ, ἣ ȣ̓ ποιηθήσεται καὶ πλημμελή-
σωσι, 14 καὶ γνωσθῇ αὐτοῖς ἡ ἁμαρτία ἣν ἥμαρ-
τον ἐν αὐτῇ· καὶ προσάξει ἡ συναγωγὴ z) μό-
σχον ἐκ βοῶν ἄμωμον περὶ τῆς ἁμαρτίας a)·
καὶ προσάξει αὐτὸν παρὰ τὰς θύρας τῆς σκη-
νῆς τȣ̃ μαρτυρίȣ, 15 καὶ ἐπιθήσȣσιν οἱ πρεσβύ-
τεροι b) τῆς συναγωγῆς τὰς χεῖρας αὐτῶν ἐπὶ
τὴν κεφαλὴν τȣ̃ μόσχȣ ἔναντι κυρίȣ, καὶ σφά-
ξȣσιν τὸν μόσχον ἔναντι κυρίȣ, 16 καὶ εἰσοίσει
ὁ ἱερεὺς ὁ χριστὸς ἀπὸ τȣ̃ αἵματος τȣ̃ μόσχȣ
εἰς τὴν σκηνὴν τȣ̃ μαρτυρίȣ, 17 καὶ βάψει ὁ ἱε-
ρεὺς τὸν δάκτυλον ἀπὸ τȣ̃ αἵματος τȣ̃ μόσχȣ
καὶ ῥανεῖ ἑπτάκις ἔναντι κυρίȣ, κατενώπιον τȣ̃
καταπετάσματος τȣ̃ ἁγίȣ· 18 καὶ ἀπὸ τȣ̃ αἵμα-
τος ἐπιθήσει ὁ ἱερεὺς ἐπὶ τὰ κέρα*τα τȣ̃ θυ- *27
σιαστηρίȣ, τῶν θυμιαμάτων τῆς συνθέσεως, ὅ
ἐστιν ἐνώπιον κυρίȣ, ὅ ἐστιν ἐν τῇ σκηνῇ τȣ̃ μαρ-
τυρίȣ· καὶ τὸ πᾶν αἷμα ἐκχεεῖ παρὰ τὴν CH
βάσιν τȣ̃ θυσιαστηρίȣ τῶν καρπώσεων τȣ̃ ὄντος
πρὸς τῇ θύρᾳ τῆς σκηνῆς τȣ̃ μαρτυρίȣ· 19 καὶ
τὸ πᾶν στέαρ αὐτȣ̃ περιελεῖ ἀπ' αὐτȣ̃, καὶ ἀνοί-
σει ἐπὶ τὸ θυσιαστήριον, 20 καὶ ποιήσει τὸν μό-



x) πᾶσα ἡ συναγωγὴ Ἰσραὴλ ἠγνόησεν καὶ ἔλαθεν ῥῆμα ἐξ ὀφθαλμῶν τῆς συναγωγῆς ἐν τῇ ἐπιδημίᾳ τȣ̃ σωτῆρος. ἔξω γὰρ τῆς συναγωγῆς ἦσαν, οἱ διὰ τὸν σωτῆρα ἀποσυνάγωγοι γενόμενοι· καὶ ἐποίησεν δὲ ἡ συναγωγὴ μίαν ἀπὸ πασῶν τῶν ἐντολῶν κυρίȣ, ἣ ȣ̓ ποιηθήσεται καὶ ἐπλημμέλησεν, ἀλλ' ȣ̓δέπω ἐγνώσθη αὐτοῖς ἡ ἁμαρτία ἣν ἥμαρτον.

y) παροραθὴ λόγος.

z) ἡ ἐκκλησία.

a) ἐξιλασμόν.

b) οἱ σοφοί.

σχον, ὃν τρόπον ἐποίησεν τὸν μόσχον τὸν τῆς
ἁμαρτίας c), οὕτω ποιηθήσεται καὶ ἐξιλάσεται
περὶ αὐτῶν ὁ ἱερεὺς καὶ ἀφεθήσεται αὐτοῖς ἡ
ἁμαρτία, 21 καὶ ἐξοίσουσιν τὸν μόσχον ὅλον ἔξω
τῆς παρεμβολῆς, καὶ κατακαύσουσιν τὸν μό-
σχον, ὃν τρόπον κατέκαυσαν τὸν μόσχον
τὸν πρότερον, ἁμαρτίας d) συναγωγῆς
ἐστίν· 22 Ἐὰν δὲ ὁ ἄρχων ἁμάρτῃ
ΙΑ καὶ ποιήσῃ μίαν ἀπὸ πασῶν τῶν ἐντολῶν κυρίου
S τοῦ θεοῦ αὐτοῦ, ἣ οὐ ποιηθήσεται ἀκουσίως e), καὶ
πλημμελήσῃ 23 καὶ γνωσθῇ αὐτῷ ἡ ἁμαρτία ἣν
ἥμαρτεν ἐν αὐτῇ, καὶ προσοίσει τὸ δῶρον αὐτοῦ,
χίμαῤῥον ἐξ αἰγῶν ἄρσεν ἄμωμον περὶ ἁμαρ-
τίας, 24 καὶ ἐπιθήσει τὴν χεῖρα αὐτοῦ ἐπὶ τὴν
κεφαλὴν τοῦ χιμάῤῥου, καὶ σφάξουσιν αὐτὸν ἐν
τόπῳ, οὗ σφάζουσιν τὰ ὁλοκαυτώματα ἐνώπιον
κυρίου ἁμαρτίας ἐστίν· f) 25 καὶ ἐπιθήσει ὁ ἱερεὺς
ἀπὸ τοῦ αἵματος τοῦ τῆς ἁμαρτίας τῷ δακτύλῳ,
ἐπὶ τὰ κέρατα τοῦ θυσιαστηρίου τῶν ὁλοκαυτω-
μάτων, καὶ τὸ πᾶν αἷμα αὐτοῦ ἐκχεεῖ παρὰ
τὴν βάσιν τοῦ θυσιαστηρίου τῶν ὁλοκαυτωμά-
των· 26 καὶ τὸ πᾶν στέαρ αὐτοῦ ἀνοίσει ἐπὶ
τὸ θυσιαστήριον, ὥσπερ τὸ στέαρ θυσίας σω-
τηρίου· g) καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς
ἀπὸ τῆς ἁμαρτίας αὐτοῦ, καὶ ἀφεθήσεται αὐ-
τῷ· 27 Ἐὰν h) δὲ ψυχὴ μία ἁμάρτῃ ἀκουσίως,
ἐκ

S ΠΕΡΙ ΘΥϹΙΑϹ ΑΡΧΟΝΤΟϹ ΕΑΝ ΑΜΑΡΤΗ.

c) τοῦ ἐξιλασμοῦ.
d) ἐξιλασμὸς ἐκκλησίας.
e) ΑΚ. ϹΥ. ἐν ἀγνοίᾳ. f) ἱλασμός ἐστιν.
g) τελειότητος.
h) ψυχὴ ἐὰν παραβῇ παράβασιν καὶ ἁμάρτῃ ἐν ἀγνοίᾳ.

ἐκ τοῦ λαοῦ τῆς γῆς ἐν τῷ ποιῆσαι μίαν ἀπὸ πα- ΙΕ
σῶν τῶν ἐντολῶν κυρίου, ἣ οὐ ποιηθήσεται, καὶ Ζ
πλημμελήσῃ 28 καὶ γνωσθῇ αὐτῷ ἡ ἁμαρτία
ἣν ἥμαρτεν ἐν αὐτῇ, * καὶ οἴσει τὸ δῶρον αὐτοῦ *28
χίμαιραν ἐξ αἰγῶν, θήλειαν, ἄμωμον οἴσει περὶ
τῆς ἁμαρτίας ἧς ἥμαρτεν, 29 καὶ ἐπιθήσει τὴν
χεῖρα αὐτοῦ ἐπὶ τὴν κεφαλὴν τοῦ ἁμαρτήματος
αὐτοῦ· i) καὶ σφάξουσιν τὴν χίμαιραν τὴν τῆς
ἁμαρτίας, ἐν τόπῳ οὗ σφάζουσιν τὰ ὁλοκαυτώ-
ματα, 30 καὶ λήψεται ὁ ἱερεὺς ἀπὸ τοῦ αἵματος
αὐτῆς, τῷ δακτύλῳ αὐτοῦ, καὶ ἐπιθήσει ἐπὶ τὰ
κέρατα τοῦ θυσιαστηρίου τῶν ὁλοκαυτωμάτων·
καὶ πᾶν τὸ αἷμα αὐτῆς ἐκχεεῖ παρὰ τὴν
βάσιν τοῦ θυσιαστηρίου τῶν ὁλοκαυτωμάτων, 31 καὶ
πᾶν τὸ στέαρ περιελεῖ, ὃν τρόπον περιαιρεῖται
στέαρ ἀπὸ θυσίας σωτηρίου· k) καὶ ἀνοίσει ὁ
ἱερεὺς ἐπὶ τὸ θυσιαστήριον εἰς ὀσμὴν εὐωδίας τῷ
κυρίῳ· καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς, καὶ
ἀφεθήσεται αὐτῷ· 32 Ἐὰν δὲ πρόβατον l)
προσενέγκῃ τὸ δῶρον αὐτοῦ περὶ τῆς ἁμαρτίας,
θῆλυ ἄμωμον προσοίσει αὐτό· 33 καὶ ἐπιθή-
σει τὴν χεῖρα αὐτοῦ ἐπὶ τὴν κεφαλὴν τοῦ τῆς
ἁμαρτίας, καὶ σφάξουσιν αὐτὸ περὶ ἁμαρτίας m),
ἐν τόπῳ οὗ σφάζουσιν τὰ ὁλοκαυτώματα, 34 καὶ
λαβὼν ὁ ἱερεὺς ἀπὸ τοῦ αἵματος τοῦ τῆς ἁμαρ-
τίας, τῷ δακτύλῳ αὐτοῦ ἐπιθήσει ἐπὶ τὰ κέρα-
τα τοῦ θυσιαστηρίου τῆς ὁλοκαρπώσεως· καὶ πᾶν
αὐτοῦ τὸ αἷμα, ἐκχεεῖ παρὰ τὴν βάσιν τοῦ θυ-

 σιαστηρίου

Ζ ΠΕΡΙ ΨΥΧΗΣ ΜΙΑΣ ΕΑΝ ΑΜΑΡΤΗ.

i) τοῦ τῆς ἁμαρτίας αὐτοῦ. k) τῶν εἰρηνικῶν.

l) ἀμνὸν ἀμνάδα. m) εἰς ἱλασμόν.

σιαϛηρίȣ τῆς ὁλοκαυτώσεως· [35] καὶ πᾶν αὐτȣ͂ τὸ
ϛέαρ περιελεῖ, ὃν τρόπον περιαιρεῖται ϛέαρ προ-
βάτȣ ἀπὸ θυσίας σωτηρίȣ· n) καὶ ἐπιθή-
σει αὐτὸ ὁ ἱερεὺς ἐπὶ τὸ θυσιαϛήριον, ἐπὶ τὸ
ὁλοκάυτωμα κυρίȣ· καὶ ἐξιλάσεται περὶ αὐτȣ͂ ὁ
ἱερεὺς περὶ τῆς ἁμαρτίας, ἧς ἥμαρτεν, καὶ ἀφε-
θήσεται αὐτῷ·
IS V. [1] Ἐὰν δὲ ψυχὴ ἁμάρτῃ, καὶ ἀκȣ́σῃ φωνὴν ὁρκισ-
H μȣ͂ o), καὶ ȣ῟τος μάρτυς, ἢ ἑόρακεν, ἢ σύνοιδεν,
ἐὰν μὴ ἀπαγγείλῃ καὶ λήψεται τὴν ἁμαρτίαν [2] ἡ
ψυχὴ, ἥτις ἐὰν ἅψηται παντὸς πράγματος p)
*29 ἀκαθάρτȣ, * ἢ θνησιμαίȣ, ἢ θηριαλώτȣ ἀκα-
θάρτȣ, ἢ τῶν θνησιμαίων βδελυγμάτων τῶν
ἀκαθάρτων, ἢ τῶν θνησιμαίων κτηνῶν τῶν ἀκα-
θάρτων, καὶ λάθῃ ἀπ' αὐτȣ͂ καὶ μεμίανται· [3] ἢ
ἅψηται ἀπὸ ἀκαθαρσίας ἀνθρώπȣ, ἀπὸ πάσης
ἀκαθαρσίας αὐτȣ͂, ἧς ἂν ἁψάμενος μιανθῇ, καὶ
ἔλαθεν αὐτὸν, μετὰ τȣ͂το δὲ γνῷ, καὶ πλημμε-
λήσῃ [4] ἡ ψυχὴ ἡ ἄνομος, ἡ διαϛέλλȣσα τοῖς χεί-
CH λεσιν, κακοποιῆσαι, ἢ καλοποιῆσαι, κατὰ πάν-
τα ὅσα ἂν διαϛείλῃ q) ὁ ἄνθρωπος μεθ' ὅρκȣ
καὶ λάθῃ αὐτὸν, r) καὶ ȣ῟τος γνῷ, καὶ ἁμάρτῃ
ἕν τι τȣ́των, [5] καὶ ἐξαγορεύσει s) τὴν ἁμαρτίαν
περὶ ἧς ἡμάρτηκεν κατ' αὐτῆς, [6] καὶ οἴσει περὶ
ὧν ἐπλημμέλησεν τῷ κυρίῳ περὶ τῆς ἁμαρτίας ἧς
ἥμαρτεν θῆλυ, ἀπὸ τῶν προβάτων ἀμνάδα, ἢ
χίμαιραν ἐξ αἰγῶν περὶ ἁμαρτίας, καὶ ἐξιλάσε-
ται

H ΠΕΡΙ ΟΡΚΙCΜΟΥ ΚΑΙ ΑΚΟΥCΙΟΥ ΑΜΑΡΤΗΜΑΤΟC.

n) τῶν τελειώσεων. o) συνθήκης.
p) ῥήματος. q) καὶ παραβῇ.
r) ἐξ ὀφθαλμῶν. s) μετανοήσῃ ἐφ' ᾧ ἥμαρτεν.

ται περὶ αὐτοῦ ὁ ἱερεὺς περὶ τῆς ἁμαρτίας t), καὶ
ἀφεθήσεται αὐτῶν ἡ ἁμαρτία·
7 Ἐὰν δὲ μὴ ἰσχύῃ ἡ χεὶρ αὐτοῦ τὸ ἱκανὸν εἰς πρό-
βατον, οἴσει περὶ τῆς ἁμαρτίας αὐτοῦ ἧς ἥμαρ-
τεν, δύο τρυγόνας, ἢ δύο νεοσσοὺς περιστερῶν τῷ
κυρίῳ, ἕνα περὶ ἁμαρτίας, καὶ ἕνα εἰς ὁλοκαύ-
τωμα, 8 καὶ οἴσει αὐτὰ πρὸς τὸν ἱερέα· καὶ προσ-
άξει ὁ ἱερεὺς τὸ περὶ τῆς ἁμαρτίας πρότερον, καὶ
ἀποκνίσει u) ὁ ἱερεὺς τὴν κεφαλὴν αὐτοῦ ἀπὸ τοῦ
σφονδύλου x) καὶ οὐ διελεῖ: 9 καὶ ῥανεῖ ἀπὸ τοῦ
αἵματος τοῦ περὶ τῆς ἁμαρτίας y) ἐπὶ τὸν τοῖ-
χον τοῦ θυσιαστηρίου· τὸ δὲ κατάλοιπον τοῦ αἵμα-
τος, καταστραγγιεῖ ἐπὶ τὴν βάσιν τοῦ θυσιαστηρίου,
ἁμαρτίας z) γάρ ἐστιν· 10 καὶ τὸ δεύτερον ποιή-
σεις ὁλοκαύτωμα ὡς καθήκει a), καὶ ἐξιλάσεται
περὶ αὐτοῦ ὁ ἱερεὺς περὶ τῆς ἁμαρτίας αὐτοῦ, ἧς
ἥμαρτεν, καὶ ἀφεθήσεται αὐτῷ· 11 ἐὰν δὲ μὴ
εὑρίσκῃ b) ἡ χεὶρ αὐτοῦ ζεῦγος τρυγόνων, ἢ δύο
νεοσσοὺς περιστερῶν, καὶ οἴσει τὸ δῶρον αὐτοῦ περὶ
οὗ ἥμαρτεν, * τὸ δέκατον τοῦ οἰφεὶ c) σεμίδαλιν *30
περὶ ἁμαρτίας· οὐκ ἐπιχεεῖ ἐπ' αὐτὴν ἔλαιον· οὐ
δὲ ἐπιθήσει ἐπ' αὐτῆς λίβανον, ὅτι περὶ ἁμαρ-
τίας d) ἐστιν· 12 καὶ οἴσει αὐτὴν πρὸς τὸν ἱερέα,
καὶ δραξάμενος ὁ ἱερεὺς ἐπ' αὐτῆς πλήρη τὴν δρά-
κα αὐτοῦ, τὸ μνημόσυνον αὐτῆς ἐπιθήσει ἐπὶ τὸ
θυσιαστήριον ἐπὶ τῶν ὁλοκαυτωμάτων e) κυρίῳ,



t) λύτρον. u) ἀνακλάσει.
x) τένοντος. y) ἱλασμοῦ.
z) ἱλασμός. a) κατὰ τὴν κρίσιν.
b) ἰσχύῃ. καταλάβῃ.
c) σάτου. d) ἱλασμός.
e) προσφορῶν.

ἁμαρτίας ἐςίν· 13 καὶ ἐξιλάσεται περὶ αὐτȣ̃ ὁ
ἱερεὺς περὶ τῆς ἁμαρτίας αὐτȣ̃ ἧς ἥμαρτεν ἀφ'
ἑνὸς f) τȣ́των, καὶ ἀφεθήσεται αὐτῷ· τὸ δὲ
καταλειφθὲν ἔςαι τῷ ἱερεῖ, ὡς ἡ θυσία g) τῆς
σεμιδάλεως·
14 Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν λέγων· 15 ψυχὴ
ἣ ἂν λάθῃ h) αὐτὸν λήθῃ, καὶ ἁμάρτῃ i) ἀκȣ-
σίως ἀπὸ τῶν ἁγίων κυρίȣ, καὶ οἴσει τῆς πλημ-
μελίας αὐτȣ̃ τῷ κυρίῳ, κριὸν ἄμωμον ἐκ τῶν προ-
βάτων τιμῆς ἀργυρίȣ σίκλων k) τῷ σίκλῳ τῷ
ἁγίῳ περὶ ȣ̃ ἐπλημμέλησεν, 16 καὶ ὃ ἥμαρτεν
ἀπὸ τῶν ἁγίων ἀποτίσει· καὶ τὸ ἐπίπεμπτον προσ-
θήσει ἐπ' αὐτὸ, καὶ δώσει αὐτὸ τῷ ἱερεῖ· καὶ ὁ
ἱερεὺς ἐξιλάσεται περὶ αὐτȣ̃ ἐν τῷ κριῷ τῆς πλημ-
μελείας, καὶ ἀφεθήσεται αὐτῷ·
17 Καὶ ψυχὴ ἣ ἂν ἁμάρτῃ, καὶ ποιήσει μίαν ἀπὸ
πασῶν τῶν ἐντολῶν κυρίȣ, ὧν ȣ̓ δεῖ ποιεῖν καὶ ȣ̓κ
ἔγνω, καὶ πλημμελήσῃ καὶ λάβῃ τὴν ἁμαρτίαν
αὐτȣ̃, 18 καὶ οἴσει κριὸν ἄμωμον ἐκ τῶν προβάτων
τιμῆς ἀργυρίȣ εἰς πλημμέλειαν l) πρὸς τὸν
ἱερέα, καὶ ἐξιλάσεται περὶ αὐτȣ̃ ὁ ἱερεὺς
περὶ τῆς ἀγνοίας αὐτȣ̃ ἧς ἠγνόησεν, καὶ αὐ-
τὸς ȣ̓κ ᾔδει, καὶ ἀφεθήσεται αὐτῷ· 19 ἐπλημ-
μέλησεν γὰρ πλημμελείᾳ πλημμέλησιν ἔναντι
κυρίȣ. VI. 1 καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν
ΙΘ Θ λέγων· 2 ψυχὴ ἣ ἂν ἁμάρτῃ m) καὶ παριδὼν
παρίδῃ

Θ ΠΕΡΙ ΟΡΚΟΥ ΠΑΡΑΚΑΤΑΘΗΚΗΣ ΚΑΙ ΤΩΝ ΛΟΙΠΩΝ.

f) ἐφ' ἑνί. g) κάρπωμα.
h) ἀδικήσει ἀδικίαν, ἐὰν παραβῇ παράβασιν.
i) ΑΚ. ψυχὴ ὅταν παράβασιν καὶ ἁμάρτῃ ἐν ἀγνοίᾳ.
k) ςαθμῶν ἐν ςαθμῷ ἁγίῳ l) εἰς λύτρωσιν.
m) ἀδικήσῃ ἀδικίαν ἐν κυρίῳ.

παρίδη τὰς ἐντολὰς κυρίου, καὶ ψεύσηται n) τὰ
πρὸς τὸν πλησίον ἐν παραθήκῃ, ἢ περὶ κοινω-
νίας o), ἢ περὶ ἁρπαγῆς p), ἢ ἠδίκησέν q) τι
τὸν πλησίον, 3 ἢ εὗρεν ἀπώλειαν, καὶ * ψεύση- *31
ται περὶ αὐτῆς, καὶ ὀμόσῃ ἀδίκως περὶ ἑνὸς ἀπὸ
πάντων ὧν ἐὰν ποιήσῃ ἄνθρωπος, ὥστε ἁμαρτεῖν
ἐν τούτοις· 4 καὶ ἔσται ἡνίκα ἐὰν ἁμάρτῃ καὶ πλημ-
μελήσῃ, καὶ ἀποδῷ τὸ ἅρπασμα ὃ ἥρπασεν,
ἢ τὸ ἀδίκημα r) ὃ ἠδίκησεν, ἢ τὴν παραθήκην
ἥτις παρετέθη αὐτῷ, ἢ τὴν ἀπώλειαν ἣν ἂν εὕ-
ρεν ἀπὸ παντὸς πράγματος, οὗ ὤμοσεν περὶ
αὐτοῦ ἀδίκως, καὶ ἀποτίσει αὐτὸ τὸ κεφάλαιον·
καὶ τὸ ἐπίπεμπτον αὐτοῦ προσθήσει ἐπ᾽ αὐτό·
τίνος ἐστὶν αὐτῷ ἀποδώσει, ᾗ ἡμέρᾳ ἐλεγχθῇ s),
5 καὶ τῆς πλημμελείας αὐτοῦ οἴσει τῷ κυρίῳ,
κριὸν ἀπὸ τῶν προβάτων ἄμωμον τιμῆς εἰς t)
ὃ ἐπλημμέλησεν· 6 καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ
ἱερεὺς ἔναντι κυρίου, καὶ ἀφεθήσεται αὐτῷ περὶ
ἑνὸς ἀπὸ πάντων ὧν ἐποίησεν καὶ ἐπλημμέλη-
σεν ἐν αὐτῷ·
7 Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν λέγων, 8 ἔν- I
τειλαι Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ λέγων· 9 οὗτος K
ὁ νόμος τῆς ὁλοκαυτώσεως· αὕτη ἡ ὁλοκαύτωσις
ἐπὶ τῆς καύσεως αὐτῆς ἐπὶ τοῦ θυσιαστηρίου, ὅλην
τὴν νύκτα ἕως τὸ πρωΐ, καὶ τὸ πῦρ τοῦ θυσια-
στηρίου καυθήσεται ἐπ᾽ αὐτοῦ, οὐ σβεσθήσεται·
10 καὶ ἐνδύσεται ὁ ἱερεὺς χιτῶνα λινοῦν u), καὶ



I ΠΕΡΙ ΟΛΟΚΑΥΤΩΣΕΩΣ.

n) ΑΚ. ἀρνήσηται. o) ἐν πιστώσει χειρός.
p) ἐν ἀναγκασμῷ. q) ἐσυκοφάντισεν.
r) ΑΚ. καὶ οἱ Λ. τὴν συκοφαντίαν.
s) ὠφληθῇ. t) εἰς λύτρωσιν.
u) ἐπενδύτην λευκόν.

περισκελὲς x) λινȣ̃ν y), ἐνδύσεται περὶ τὸ σῶμα z)
αὐτȣ̃, καὶ ἀφελεῖ τὴν κατακάρπωσιν ἣν ἂν
καταναλώσῃ τὸ πῦρ τὴν ὁλοκαύτωσιν ἀπὸ τȣ̃
θυσιαςηρίȣ, καὶ παραθήσει αὐτὴν, ἐχόμενα a)
τȣ̃ θυσιαςηρίȣ, 11 καὶ ἐκδύσεται τὴν ςολὴν b)
αὐτȣ̃, καὶ ἐνδύσεται ςολὴν c) ἄλλην καὶ ἐξοίσει
τὴν κατακάρπωσιν d) ἔξω τῆς παρεμβολῆς εἰς
τόπον καθαρόν· 12 καὶ πῦρ ἐπὶ τὸ θυσιαςήριον
καυθήσεται ἐπ᾽ αὐτȣ̃ καὶ ȣ̓ σβεσθήσεται, καὶ
καύσει ἐπ᾽ αὐτȣ̃ ὁ ἱερεὺς ξύλα τὸ πρωῒ πρωῒ,
καὶ ςοιβάσει ἐπ᾽ αὐτȣ̃ τὴν ὁλοκαύτωσιν, καὶ
ἐπιθήσει ἐπ᾽ αὐτȣ̃ τὸ ςέαρ τȣ̃ σωτηρίȣ e),
13 καὶ πῦρ διὰ παντὸς καυθήσεται ἐπὶ τὸ θυ-
*32 σιαςήριον ȣ̓ σβεσθήσεται· 14 Οὗτος ὁ νόμος *
ΙΑ Τῆς θυσίας, ἣν προσάξȣσιν αὐτὴν οἱ υἱοὶ Ἀαρὼν
οἱ ἱερεῖς f), ἀπέναντι τȣ̃ θυσιαςηρίȣ ἔναντι κυ-
ρίȣ, 15 καὶ ἀφελεῖ ἀπ᾽ αὐτȣ̃ τῇ δρακὶ ἀπὸ τῆς
σεμιδάλεως τῆς θυσίας g) σὺν τῷ ἐλαίῳ αὐ-
τῆς, καὶ σύμπαντι τῷ λιβάνῳ αὐτῆς, τὰ ὄντα ἐπὶ
τῆς θυσίας, καὶ ἀνοίσει ἐπὶ τὸ θυσιαςήριον κάρπω-
μα ὀσμὴν εὐωδίας τὸ μνημόσυνον αὐτῆς τῷ κυρίῳ·
16 τὸ

ΙΑ ΠΕΡΙ ΘΥCΙΑC ΤΩΝ ΙΕΡΕΩΝ.

x) σκέπας λευκάς.
y) διπλȣ̃ν.
z) τὴν σποδόν.
a) ἐκ πλαγίȣ.
b) τὰ φάρεα.
c) φάρεα ἑτέρα.
d) τὴν πιότητα.
τὴν σποδόν.
e) τῶν εἰρηνικῶν
τῶν τελειόσεων.
f) ὅτ᾽ ἂν τινὸς τῶν ἐν λαῷ τελȣ́ντων καρποφορȣ̃ντος, αὐτοὶ προσφέρωσι· τότε γὰρ ἔξεσιν αὐτοῖς ἐσθίειν τὸ μέρος παντὶ ἄρσενι τῶν ἱερέων δηλαδή· ὅτ᾽ ἂν δὲ αὐτοὶ οἴκοθεν προσφέρωσιν οἱ ἱερεῖς, ȣ̓κ ἐφεῖτε ἐσθίειν· πᾶσα γὰρ θυσία ἱερέως ὁλόκαυτος ἔςαι, καὶ ȣ̓ βρωθήσεται παρακατιὼν φησὶ γενικῶς καὶ ὡς ἐν κάνονι.
g) καρπώσεως.

16 τὸ δὲ καταλειφθὲν ἀπ᾽ αὐτῆς, ἔδεται [h])
Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ· ἄζυμα βρωθήσεται ἐν
τόπῳ ἁγίῳ, ἐν αὐλῇ τῆς σκηνῆς τοῦ μαρτυρίου
ἔδονται αὐτὴν 17 οὐ πεφθήσεται ἐζυμωμένη, με-
ρίδα αὐτὴν δέδωκα αὐτοῖς ἀπὸ τῶν καρπωμά-
των κυρίου, ἅγια ἁγίων ἐστιν, ὥσπερ [i]) τὸ τῆς
ἁμαρτίας, καὶ ὥσπερ τὸ τῆς πλημμελείας 18 πᾶν
ἀρσενικὸν τῶν ἱερέων ἔδονται αὐτήν, νόμιμον αἰώ-
νιον εἰς τὰς γενεὰς ὑμῶν ἀπὸ τῶν καρπωμά-
των [k]) κυρίου, πᾶς ὃς ἂν ἅψηται αὐτῶν, ἁγια-
σθήσεται·
19 Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν λέγων· 20 τοῦτο
τὸ δῶρον Ἀαρὼν καὶ τῶν υἱῶν αὐτοῦ, ὃ προσοί-
σουσιν τῷ κυρίῳ ἐν τῇ ἡμέρᾳ, ᾗ ἂν χρίσῃς αὐ-
τόν, τὸ δέκατον τοῦ οἰφεὶ [l]) σεμιδάλεως εἰς θυ-
σίαν [m]) διὰ παντός· τὸ ἥμισυ αὐτῆς τὸ πρωΐ,
καὶ τὸ ἥμισυ αὐτῆς τὸ δειλινὸν 21 ἐπὶ τηγάνου,
ἐν ἐλαίῳ ποιηθήσεται πεφυραμένην [n]) οἴσει αὐ-
τὴν ἑλικτὰ θυσίαν ἐκκλασμάτων [o]), θυσίαν εἰς
ὀσμὴν εὐωδίας κυρίῳ· 22 ὁ ἱερεὺς ὁ χριστὸς [p]) ὁ
ἀντ᾽ αὐτοῦ ἐκ τῶν υἱῶν αὐτοῦ ποιήσῃ αὐτήν· νόμος
αἰώνιος, ἅπαν [q]) ἐπιτελεσθήσεται· 23 καὶ πᾶ-
σα [r]) θυσία ἱερέων ὁλόκαυτος [s]) ἔσται καὶ οὐ βρω-
θήσεται· 24 καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν
λέγων·

h) βρώσεται.
i) ὡς ἱλασμὸς καὶ ὡς λύτρωσις.
k) προσφορῶν. l) σάτου.
m) καρπώματος διηνεκῶς.
n) ΣΥ. πεπλατυσμένην ζεστοτέραν.
o) ΑΚ. δῶρον ψωμόν. ΘΕ. δῶρον κλασμάτων.
p) ἀλιφθείς.
q) ἀνάθεμα ἐπιτεθήσεται.
r) πᾶν μαναά. s) ἀνάθεμα.

ΚΒ Λέγων· 25 λάλησον τῷ Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτȣ̃ λέ-
γων· ȣ̃τος ὁ νόμος τῆς ἁμαρτίας t) ἐν τόπῳ, ȣ̃
σφάζȣσιν τὰ ὁλοκαυτώματα, σφάξȣσιν καὶ τὸ
τῆς ἁμαρτίας ἔναντι κυρίȣ ἅγια ἁγίων ἐςιν· 26 ὁ
ἱερεὺς ὁ ἀναφέρων u) αὐτὴν, ἔδεται αὐτὴν ἐν τό-
πῳ ἁγίῳ βρωθήσεται, ἐν αὐλῇ τῆς σκηνῆς τȣ̃
*33 μαρτυρίȣ· 27 πᾶς ὁ ἁπτόμενος * τῶν κρεῶν αὐ-
τῆς, ἁγιασθήσεται· καὶ ᾧ ἐὰν ἐπιῤῥαντισθῇ ἀπὸ
τȣ̃ αἵματος αὐτῆς ἐπὶ τὸ ἱμάτιον, ὃ ἂν ῥαντισθῇ
ἐπ' αὐτὸ, πλυθήσεται ἐν τόπῳ ἁγίῳ, 28 καὶ
σκεῦος ὀςράκινον ȣ̃ ἐὰν ἑψηθῇ ἐν αὐτῷ συντριβήσε-
ται· ἐὰν δὲ ἐν σκεύει χαλκῷ ἑψηθῇ, ἐκτρίψει x) αὐ-
τὸ καὶ κλύσει ὕδατι· 29 πᾶς ἄρσην ἐν τοῖς ἱερεῦσιν
φάγεται αὐτὰ ἅγια ἁγίων ἐςιν κυρίῳ· 30 καὶ πάν-
τα τὰ περὶ τῆς ἁμαρτίας, ὧν ἂν εἰσενεχθῇ ἀπὸ τȣ̃
αἵματος αὐτῶν εἰς τὴν σκηνὴν τȣ̃ μαρτυρίȣ, ἐξι-
λάσασθαι ἐν τόπῳ ἁγίῳ, ȣ̓ βρωθήσεται, ἐν πυρὶ
κατακαυθήσεται· 31 καὶ ȣ̃τος ὁ νόμος τȣ̃ κριȣ̃ τȣ̃
περὶ τῆς πλημμελείας y) ἅγια ἁγίων ἐςίν· 32 ἐν
τόπῳ ȣ̃ σφάζȣσιν τὰ ὁλοκαυτώματα, σφάξȣσιν
τὸν κριὸν τῆς πλημμελείας ἐναντίον κυρίȣ· καὶ τὸ
αἷμα προσχεεῖ ἐπὶ τὴν βάσιν τȣ̃ θυσιαςηρίȣ κύ-
κλῳ, 33 καὶ πᾶν τὸ ςέαρ αὐτȣ̃, καὶ προσοίσει
ἀπ' αὐτȣ̃, καὶ τὴν ὀσφῦν z), καὶ πᾶν τὸ ςέαρ
τὸ κατακαλύπτον τὰ ἐντόσθια, καὶ πᾶν τὸ ςέαρ
τὸ ἐπὶ τῶν ἐντοσθίων 34 καὶ τȣ̀ς δύο νεφρȣ̀ς, καὶ
τὸ ςέαρ τὸ ἐπ' αὐτῶν τὸ ἐπὶ τῶν μηρίων a), καὶ
τὸν λοβὸν τὸν ἐπὶ τȣ̃ ἥπατος, σὺν τοῖς νεφροῖς
περιελεῖ

t) τȣ̃ ἱλασμȣ̃. u) ὁ ἱλάζων.
x) σμιγχθήσεται καὶ βαπτισθήσεται.
y) λυτρώσεως. z) οἱ Λ. τὸ κέρκιον, τὴν ȣ̓ράν.
a) λαγόνων.

περιελεῖ αὐτά· 35 καὶ ἀνοίσει αὐτὰ ὁ ἱερεὺς ἐπὶ
τὸ θυσιαςήριον, κάρπωμα ὀσμὴν εὐωδίας κυρίῳ
περὶ πλημμελείας b) ἐςίν· 36 πᾶς c) ἄρσην
ἐκ τῶν ἱερέων, ἔδεται αὐτά· ἐν τόπῳ ἁγίῳ βρω-
θήσεται; ἅγια ἁγίων ἐςίν· 37 ὥσπερ τὸ περὶ
τῆς ἁμαρτίας, ὕτως καὶ τὸ τῆς πλημμελείας ὁ
νόμος εἰς αὐτῶν· ὁ ἱερεὺς d) ὅςις ἐξιλάσεται ἐν
αὐτῷ, αὐτῷ ἔςαι· 38 καὶ ὁ ἱερεὺς ὁ προσάγων
ὁλοκαυτώματα e) ἀνθρώπυ, τὸ δέρμα τῆς ὁλο-
καυτώσεως, ἧς αὐτὸς προσφέρει f), αὐτῷ ἔςαι·
39 καὶ πᾶσα θυσία g) ἥτις ποιηθήσεται ἐν κρι-
βάνῳ, καὶ πᾶσα ἥτις ποιηθήσεται h) ἐπ' ἐσχά-
ρας i), ἢ ἐπὶ τηγάνυ τῦ ἱερέως τῦ προσφέρον-
τος αὐτὴν, αὐτῦ ἔςαι· 40 καὶ πᾶσα θυσία k)
ἀναπεποιημένη ἐν ἐλαίῳ, καὶ μὴ l) ἀναπεποιη-
μέ*νη πᾶσι τοῖς υἱοῖς Ἀαρὼν ἔςαι ἑκάςῳ m) τὸ *34
ἴσον, VII. 1 ὗτος ὁ νόμος θυσίας σωτηρίυ, ἣν
προσοίσυσιν κυρίῳ· 2 ἐὰν μὲν περὶ αἰνέσεως n)
προσφέρῃ αὐτὴν, καὶ προσοίσει ἐπὶ τῆς θυσίας
τῆς αἰνέσεως o), ἄρτυς p) ἐκ σεμιδάλεως ἀνα-
πεποιημένυς ἐν ἐλαίῳ, καὶ λάγανα ἄζυμα δια-
κεχρισμένα ἐν ἐλαίῳ, καὶ σεμίδαλιν πεφυραμέ-
νην q) 3 ἐπ' ἄρτοις ἀζυμίταις προσοίσει τὰ δῶρα r)
αὐτῦ,

b) λύτρωσις.
c) ὅτι μόνοι ἄρσενες ἱερεῖς, τινὰς θυσίας ἐσθίυσιν.
d) τῦ ἱερέως τῦ ἱλάζοντος αὐτὸ, αὐτῦ ἔςαι.
e) ἀνδρός. f) ἄγει.
g) κάρπωσις. h) πεφθήσεται.
i) ΘΣ. καυςῃ ἐνζέοντι. k) κάρπωσις.
l) ξηρά. m) ἀνὴρ ὡς ἀδελφὸς αὐτῦ.
n) ΑΚ. ἐπὶ εὐχαριςίας. o) εὐχαριςίας.
p) κολλυρίδας.
ἐπὶ κολλύρων ἄρτων ἀζυμίτων.
q) ζεςήν. r) οἱ Λ. ἐρηνικὸν αὐτῦ.

αὐτοῦ, ἐπὶ θυσίᾳ αἰνέσεως σωτηρίου [s]) αὐτοῦ·
4 καὶ προσάξει ἀπ' αὐτοῦ ἓν ἀπὸ πάντων τῶν
δώρων αὐτοῦ, ἀφαίρεμα κυρίῳ τῷ ἱερεῖ τῷ προσ-
χέοντι τὸ αἷμα τοῦ σωτηρίου, αὐτῷ ἔσται· 5 καὶ
τὰ κρέα θυσίας αἰνέσεως σωτηρίου αὐτῷ ἔσται,
καὶ ἐν ᾗ ἡμέρᾳ δωρεῖται [t]) βρωθήσεται· οὐ κατ-
αλείψουσιν ἀπ' αὐτοῦ εἰς τὸ πρωΐ· 6 καὶ ἐὰν εὐ-
χὴν [u]) ἢ ἑκούσιον θυσιάζῃ τὸ δῶρον αὐτοῦ, ᾗ ἂν
ἡμέρᾳ προσαγάγῃ τὴν θυσίαν αὐτοῦ, βρωθήσε-
ται, καὶ τῇ αὔριον· 7 καὶ τὸ καταλειφθὲν ἀπὸ
τῶν κρεῶν τῆς θυσίας ἕως ἡμέρας τρίτης, ἐν
πυρὶ κατακαυθήσεται·

IB 8 Ἐὰν [x]) δὲ φαγὼν φάγῃ ἀπὸ τῶν κρεῶν, τῇ
ἡμέρᾳ τῇ τρίτῃ, οὐ δεχθήσεται [y]) τῷ προσφέ-
ροντι αὐτό, οὐ λογισθήσεται αὐτῷ μίασμά [z])
ἐστιν· ἡ δὲ ψυχὴ ἥτις ἂν φάγῃ ἀπ' αὐτοῦ, τὴν
ἁμαρτίαν λήψεται· 9 καὶ κρέα, ὅσα ἂν ἅψηται,
παντὸς ἀκαθάρτου οὐ βρωθήσεται, ἐν πυρὶ κατα-
καυθήσεται· πᾶς καθαρὸς φάγεται κρέα [a])·
10 ἡ

IB ΠΕΡΙ ΤΟΥ ΜΗ ΔΕΙΝ ΘΥCΙΑΝ ΔΙΑ ΤΡΙΤΟΝ ΕCΘΙΕΙΝ.

s) εἰρηνικῶν.
t) προσφέρει.
u) ἐπὶ ὅρκῳ.
x) ὡσεὶ ἔλεγεν πᾶς καθαρὸς λέγεται στερεὰν τροφήν· εἰ δέ τις πρὶν γενέσθαι καθαρὸς τῇ καρδίᾳ, φάγοι ἀπὸ τῶν τοῦ σωτηρίου κρεῶν, ἔτι τῆς ἀκαθαρσίας αὐτοῦ ἐπικειμένης αὐτῷ, ἀπολεῖται φησὶν ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ αὐτῆς.
y) οὐκ εὐδοκήσει.
z) ἐν ἄλλοις βίβλοις ἀπόβολον εὗρον· ὃ μέντοι ΘΕ. φησὶν φέγγουσα ἔσται· ὁ δὲ ΑΚ. ἀπόβλητον· οἱ Λ. ἀργόν.
a) CH. ἀναγκαῖον· χρήσει τούτοις εἰς ἀποτροπὴν τοῦ ζητεῖν στερεὰν λογικὴν τροφήν, τοὺς ἔτι ἀκαθάρτους τὴν ψυχήν· πρὸς δὲ τοὺς ἁπλουστέρους χρήσιμον τὸ ῥητόν, ἐπὶ τὸ ἀποτρέπειν τῆς εὐχαριστίας, τοὺς ἐν ἀκαθαρσίᾳ τινὶ ὄντας.

10 ἡ δὲ ψυχὴ ἥτις ἐὰν φάγῃ ἀπὸ τῶν κρεῶν
τῆς θυσίας τοῦ σωτηρίου ὅ ἐστιν κυρίῳ· καὶ
ἡ ἀκαθαρσία αὐτοῦ ἐπ' αὐτῷ, ἀπολεῖ-
ται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ αὐτῆς·
11 Καὶ ψυχὴ ἣ ἂν ἅψηται παντὸς πράγματος
ἀκαθάρτου, ἢ ἀπὸ ἀκαθαρσίας ἀνθρώπου, ἢ
τῶν τετραπόδων τῶν ἀκαθάρτων, ἢ παντὸς βδε-
λύγματος ἀκαθάρτου, καὶ φάγῃ ἀπὸ τῶν
κρεῶν τῆς θυσίας τοῦ σωτηρίου, ὅ ἐστιν τοῦ
κυρίου, ἀπολεῖται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ
αὐτῆς· 12 καὶ ἐλάλησεν κύριος πρὸς Μω*-*35
ϋσῆν λέγων· 13 λάλησον τοῖς υἱοῖς Ἰσραὴλ λέγων· ΚΓ
πᾶν στέαρ βοῶν, καὶ προβάτων, καὶ αἰγῶν οὐκ ΙΓ
ἔδεσθε· 14 καὶ στέαρ θνησιμαίων, καὶ θηριαλώ-
των b), ποιηθήσεται εἰς πᾶν ἔργον, καὶ εἰς βρῶσιν
οὐ βρωθήσεται· 15 πᾶς ὁ ἐσθίων στέαρ, ἀπὸ CH
τῶν κτηνῶν ὧν προσάξεται ἀπ' αὐτῶν κάρπωμα
κυρίῳ, ἀπολεῖται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ αὐ-
τῆς· 16 πᾶν αἷμα οὐκ ἔδεσθε ἐν πάσῃ κατοικίᾳ
ὑμῶν· ἀπό τε τῶν κτηνῶν, καὶ ἀπὸ τῶν πετει-
νῶν, 17 πᾶσα ψυχὴ ἣ ἂν φάγῃ αἷμα, ἀπολεῖται
ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ αὐτῆς· 18 καὶ ἐλά- ΚΔ
λησεν κύριος πρὸς Μωϋσῆν λέγων· 19 καὶ ΙΓ
Τοῖς υἱοῖς Ἰσραὴλ λαλήσεις λέγων· ὁ προσφέρων
θυσίαν σωτηρίου c) αὐτοῦ τῷ κυρίῳ, οἴσει τὸ δῶ-
ρον αὐτοῦ κυρίῳ ἀπὸ τῆς θυσίας τοῦ σωτηρίου αὐτοῦ·
20 αἱ χεῖρες αὐτοῦ προσοίσουσιν τὰ καρπώματα d)
κυρίῳ· τὸ στέαρ τὸ ἐπὶ τοῦ στηθυνίου, καὶ τὸν λο-
βὸν τὸν ἐπὶ τοῦ ἥπατος προσοίσει αὐτὰ, ὥστε ἐπι-
θεῖναι

ΙΔ ΠΕΡΙ ΤΟΥ ΑΦΑΙΡΕΜΑΤΟΣ ΤΩΝ ΘΥΣΙΩΝ.

b) ἀπεῤῥιμμένων, c) τελειώσεως.
d) προσφορᾶς.

θεῖναι e) δόμα ἐναντίον κυρίου· 21 καὶ ἀνοίσει ὁ
ἱερεὺς τὸ στέαρ τὸ ἐπὶ τοῦ στηθυνίου ἐπὶ τὸ θυσια-
στήριον, καὶ ἔσται τὸ στηθύνιον f), Ἀαρὼν καὶ τοῖς
υἱοῖς αὐτοῦ, 22 καὶ τὸν βραχίονα g) τὸν δεξιὸν,
δώσετε ἀφαίρεμα τῷ ἱερεῖ, ἀπὸ τῶν θυσιῶν τοῦ
σωτηρίου ὑμῶν· 23 ὁ προσφέρων τὸ αἷμα τοῦ σω-
τηρίου, καὶ τὸ στέαρ, ἀπὸ τῶν υἱῶν Ἀαρὼν, αὐ-
τῷ ἔσται ὁ βραχίων h) ὁ δεξιὸς ἐν μερίδι· 24 τὸ
γὰρ στηθύνιον τοῦ ἐπιθέματος i), καὶ τὸν βρα-
χίονα τοῦ ἀφαιρέματος, εἴληφα παρὰ τῶν υἱῶν
Ἰσραὴλ ἀπὸ τῶν θυσιῶν τοῦ σωτηρίου ὑμῶν, καὶ
ἔδωκα αὐτὰ Ἀαρὼν τῷ ἱερεῖ καὶ τοῖς υἱοῖς αὐτοῦ,
νόμιμον k) αἰώνιον παρὰ τῶν υἱῶν Ἰσραήλ· 25 αὕ-
τη ἡ χρίσις l) Ἀαρὼν, καὶ ἡ χρίσις τῶν υἱῶν
αὐτοῦ ἀπὸ τῶν καρπωμάτων τοῦ κυρίου, ἐν ᾗ ἡμέρᾳ
προσηγάγετο αὐτοὺς τοῦ ἱερατεύειν κυρίῳ, 26 καθ' ὅτι
ἐνετείλατο κύριος δοῦναι αὐτοῖς, ᾗ ἡμέρᾳ ἔχρισεν *)
αὐτοὺς παρὰ τῶν υἱῶν Ἰσραὴλ νόμιμον m) αἰώνιον, εἰς
*36 τὰς γενεὰς αὐτῶν· 27 Οὗτος ὁ νόμος τῶν ὁλοκαυ*-
ΚΕ τωμάτων n) καὶ θυσίας o), καὶ περὶ ἁμαρτίας,
καὶ τῆς πλημμελείας p), καὶ τῆς τελειώσεως q),
καὶ τῆς θυσίας τοῦ σωτηρίου 28 ὃν τρόπον ἐνετείλατο
κύριος τῷ Μωϋσῇ ἐν τῷ ὄρει σινά· ᾗ ἡμέρᾳ ἐνε-
τείλατο τοῖς υἱοῖς Ἰσραὴλ, προσφέρειν τὰ δῶρα
αὐτῶν ἔναντι κυρίου, ἐν τῇ ἐρήμῳ σινά·

VIII. 1 Καὶ

e) εἰς τὸ ἀφορίσαι αὐτὰ ἀφαίρεμα.
f) τὸ στηθύνιον ἀντὶ τοῦ νοητικοῦ· ὁ δὲ δεξιὸς βραχίων, ἀντὶ τῶν δεξιῶν πράξεων εἴληπται.
g) τὴν κνήμην. h) ἡ κνήμη.
i) ἀφορίσματος. k) εἰς μερίδα.
l) ἡ μεγαλειότης. *) ἤλειψεν. m) μερίδα.
n) καρπώσεων. o) ἱλασμοῦ.
p) λυτρώσεως. q) πληρώσεως.

VIII. 1 καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν λέγων· ΙΕ
2 λάβε τὸν Ἀαρὼν καὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ τὰς ΚS
στολὰς r), καὶ τὸ ἔλαιον τῆς χρίσεως, καὶ τὸν
μόσχον τὸν περὶ τῆς ἁμαρτίας, καὶ τοὺς δύο
κριοὺς, καὶ τὸ κανοῦν τῶν ἀζύμων, 3 καὶ πᾶσαν
τὴν συναγωγὴν ἐκκλησίασον s) ἐπὶ τὴν θύραν
τῆς σκηνῆς τοῦ μαρτυρίου· 4 καὶ ἐποίησεν Μωϋ-
σῆς, ὃν τρόπον συνέταξεν αὐτῷ κύριος, καὶ ἐξ-
εκκλησίασεν τὴν συναγωγὴν ἐπὶ τὴν θύραν τῆς
σκηνῆς τοῦ μαρτυρίου, 5 καὶ εἶπεν Μωϋσῆς τῇ
συναγωγῇ· τοῦτό ἐστιν τὸ ῥῆμα ὃ ἐνετείλατο κύριος
ποιῆσαι· 6 καὶ προσήγαγεν Μωϋσῆς τὸν Ἀαρὼν,
Καὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ ἔλουσεν αὐτοὺς ὕδατι, 7 καὶ
ἐνέδυσεν t) αὐτὸν τὸν χιτῶνα καὶ ἔζωσεν αὐτὸν
τῇ ζώνῃ, καὶ ἐνέδυσεν αὐτὸν τὸν ὑποδύτην, καὶ
ἐπέθηκεν ἐπ' αὐτὸν τὴν ἐπωμίδα, 8 καὶ συνέ-
ζωσεν u) αὐτὸν κατὰ τὴν ποίησιν x) τῆς ἐπω-
μίδος, καὶ συνέσφιγξεν αὐτὴν ἐν αὐτῷ, καὶ ἐπέ-
θηκεν ἐπ' αὐτὴν τὸ λόγειον· y) καὶ ἐπέθη-
κεν ἐπὶ τὸ λόγειον τὴν δήλωσιν z) καὶ τὴν ἀλή-
θειαν,

ΙΕ ΠΕΡΙ ΤΟΥ ΑΡΧΙΕΡΑΤΙΚΟΥ ΧΡΙΣΜΑΤΟΣ ΚΑΙ ΣΤΟΛΙΣΜΟΥ ΑΡΧΙΕΡΑΤΙΚΟΥ.

r) φάρεα. s) συνάθροισον.

t) ζητητέον περὶ τοῦ περισκέλους, διὰ τί σεσιώπηται ἢ ὅτι αὐτῷ περιέθηκεν αὐτὸ, κατὰ τὸ οὕτως πρέπειν ὁ Ἀαρών· ἐξεταστέον δὲ καὶ περὶ τοῦ ποδήρους, εἰ ὁ αὐτός ἐστιν τῷ χιτῶνι ἢ οὔ.

u) κοινὰ μὲν ἀρχιερέως ἱερέων, καὶ χιτὼν καὶ ζώνη καὶ μίτρα δ' οἶμαι ἡ αὐτή ἐστιν τῇ κιδάρει κοινόν· τὰ δὲ λοιπὰ τοῦ ἀρχιερέως, μήποτε δὲ καὶ τὸ περισκελὲς κοινόν ἐστιν.

x) τῇ ὑφῇ ΑΚ. ἐν τῷ διαζώσματι τοῦ ἐπενδύματος. ΣΥ. ΘΕ. τῷ μηχανώματι τῆς ἐπωμίδος.

y) ΣΥ. τὸ δοχίον.

z) τοὺς φωτισμοὺς καὶ τὰς τελειώσεις.

θειαν, [9] καὶ ἐπέθηκεν τὴν μίτραν ἐπὶ τὴν κε-
φαλὴν αὐτοῦ, καὶ ἐπέθηκεν ἐπὶ τῆς μίτρας a)
κατὰ τὸ πρόσωπον αὐτοῦ τὸ πέταλον b) τὸ χρυ-
σοῦν τὸ καθηγιασμένον c) ἅγιον, ὃν τρόπον συν-
έταξεν κύριος τῷ Μωϋσῇ·
10 Καὶ ἔλαβεν Μωϋσῆς ἀπὸ τοῦ ἐλαίου τῆς χρίσεως,
[11] καὶ ἔῤῥανεν ἀπ᾽ αὐτοῦ ἐπὶ τὸ θυσιαστήριον ἑπτά-
κις, καὶ ἔχρισεν τὸ θυσιαστήριον καὶ ἡγίασεν
αὐτὸ, καὶ πάντα τὰ σκεύη αὐτοῦ· καὶ τὸν λου-
τῆρα καὶ τὴν βάσιν αὐτοῦ, καὶ ἡγίασεν αὐτόν·
καὶ ἔχρισεν τὴν σκηνὴν καὶ πάντα τὰ σκεύη
*37 αὐτῆς, καὶ ἡγίασεν αὐτήν· [12] καὶ ἐπέ*χεεν
Μωϋσῆς ἀπὸ τοῦ ἐλαίου τῆς χρίσεως ἐπὶ τὴν κε-
φαλὴν Ἀαρὼν, καὶ ἔχρισεν αὐτὸν, καὶ ἡγίασεν
αὐτόν· [13] καὶ προσήγαγεν Μωϋσῆς τοὺς υἱοὺς Ἀα-
ρὼν, καὶ ἐνέδυσεν αὐτοὺς χιτῶνας, καὶ ἔζωσεν
αὐτοὺς ζώνας, καὶ περιέθηκεν αὐτοῖς κιδάρεις d),
καθάπερ συνέταξεν κύριος τῷ Μωϋσῇ· [14] καὶ
προσήγαγεν Μωϋσῆς τὸν μόσχον τὸν περὶ τῆς
ἁμαρτίας, καὶ ἐπέθηκεν Ἀαρὼν καὶ οἱ υἱοὶ αὐ-
τοῦ, τὰς χεῖρας αὐτῶν ἐπὶ τὴν κεφαλὴν τοῦ μό-
σχου, τοῦ τῆς ἁμαρτίας, [15] καὶ ἔσφαξεν αὐτόν·
καὶ ἔλαβεν Μωϋσῆς ἀπὸ τοῦ αἵματος, καὶ ἐπέ-
θηκεν ἐπὶ τὰ κέρατα τοῦ θυσιαστηρίου κύκλῳ τῷ
δακτύλῳ αὐτοῦ, καὶ ἐκαθέρισεν e) τὸ θυσια-
στήριον, καὶ τὸ αἷμα ἐξέχεεν ἐπὶ τὴν βάσιν τοῦ
θυσιαστηρίου, καὶ ἡγίασεν αὐτὸ, τοῦ ἐξιλάσασθαι
ἐπ᾽ αὐτῷ· [16] καὶ ἔλαβεν Μωϋσῆς πᾶν τὸ
στέαρ

a) οἱ Λ. κιδάρεως.
b) στέφανον· νεὲρ ὕψος ἁγιάσματος.
c) ΣΤ. τὸ ἄθικτον.
d) πίλια.
e) ἐλάτευσεν περὶ ἡμάρτισεν.

στέαρ τὸ ἐπὶ τῶν ἐντοσθίων f), καὶ τὸν λοβὸν τὸν
ἐπὶ τοῦ ἥπατος, καὶ ἀμφοτέρους τοὺς νεφροὺς καὶ
τὸ στέαρ τὸ ἐπ' αὐτῶν· καὶ ἀνήνεγκεν Μωϋ-
σῆς ἐπὶ τὸ θυσιαστήριον, [17] καὶ τὸν μόσχον καὶ
τὴν βύρσαν g) αὐτοῦ, καὶ τὰ κρέα αὐτοῦ, καὶ
τὴν κόπρον αὐτοῦ, κατέκαυσαν αὐτὰ πυρὶ ἔξω
τῆς παρεμβολῆς, ὃν τρόπον συνέταξεν κύριος τῷ
Μωϋσῇ· [18] καὶ προσήγαγεν Μωϋσῆς τὸν κριὸν
τὸν εἰς ὁλοκαύτωμα, καὶ ἐπέθηκεν Ἀαρὼν καὶ
οἱ υἱοὶ αὐτοῦ τὰς χεῖρας αὐτῶν ἐπὶ τὴν κεφαλὴν
τοῦ κριοῦ, καὶ ἔσφαξεν Μωϋσῆς τὸν κριὸν καὶ προσ-
έχεεν Μωϋσῆς τὸ αἷμα ἐπὶ τὸ θυσιαστήριον κύκλῳ,
[19] καὶ τὸν κριὸν ἐκρεανόμησεν h) κατὰ μέλη αὐ-
τοῦ· καὶ ἀνήνεγκεν i) Μωϋσῆς τὴν κεφα-
λὴν καὶ τὰ μέλη αὐτοῦ καὶ τὸ στέαρ, καὶ τὴν κοι-
λίαν καὶ τοὺς πόδας, ἔπλυνεν ὕδατι· [20] καὶ ἀνήν-
εγκεν Μωϋσῆς ὅλον τὸν κριὸν ἐπὶ τὸ θυσιαστήριον
ὁλοκάυτωμά ἐστιν εἰς ὀσμὴν εὐωδίας, κάρπωμά
ἐστιν κυρίῳ, καθάπερ ἐνετείλατο κύριος τῷ Μωϋ-
σῇ· [21] καὶ προσήγαγεν Μωϋσῆς * τὸν κριὸν *38
τὸν δεύτερον, κριὸν τελειώσεως· καὶ ἐπέθηκεν
Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ τὰς χεῖρας αὐτῶν ἐπὶ τὴν
κεφαλὴν τοῦ κριοῦ [22] καὶ ἔσφαξεν αὐτὸν, καὶ ἔλα-
βεν Μωϋσῆς ἀπὸ τοῦ αἵματος αὐτοῦ, καὶ ἐπέθη-
κεν ἐπὶ τὸν λοβὸν k) τοῦ ὠτὸς Ἀαρὼν τοῦ δεξιοῦ·
καὶ ἐπὶ τὸ ἄκρον τῆς χειρὸς τῆς δεξιᾶς, καὶ ἐπὶ
τὸ ἄκρον τοῦ ποδὸς αὐτοῦ τοῦ δεξιοῦ· [23] καὶ προσή-
γαγεν Μωϋσῆς τοὺς υἱοὺς Ἀαρὼν, καὶ ἐπέθηκεν
Μωϋσῆς ἀπὸ τοῦ αἵματος ἐπὶ τοὺς λοβοὺς l) τῶν



f) τῆς κοιλίας. g) τὸ δέρμα.
h) διεῖλεν κατὰ μέλη αὐτοῦ. i) οἱ Λ. ἐθυμίασεν.
k) ὕψος συ ελικα. l) τὰ ὑψηλά.

ὤτων αὐτῶν τῶν δεξιῶν, καὶ ἐπὶ τὰ ἄκρα τῶν
χειρῶν αὐτῶν τῶν δεξιῶν, καὶ ἐπὶ τὰ ἄκρα τῶν
ποδῶν αὐτῶν τῶν δεξιῶν· καὶ προσέχεεν Μωϋ-
σῆς τὸ αἷμα ἐπὶ τὸ θυσιαστήριον κύκλῳ, [24] καὶ
ἔλαβεν Μωϋσῆς τὸ στέαρ καὶ τὴν ὀσφῦν m), καὶ
τὸ στέαρ τὸ ἐπὶ τῆς κοιλίας, καὶ τὸν λοβὸν n) τοῦ
ἥπατος, καὶ τοὺς δύο νεφροὺς, καὶ τὸ στέαρ τὸ ἐπ'
αὐτῶν, καὶ τὸν βραχίονα o) τὸν δεξιὸν, [25] καὶ
ἀπὸ τοῦ κανοῦ τῆς τελειώσεως p) τοῦ ὄντος ἐναντίον
τοῦ θεοῦ· ἔλαβεν ἄρτον q) ἕνα ἄζυμον, καὶ ἄρ-
τον ἐξ ἐλαίου ἕνα, καὶ λάγανον r) ἓν, καὶ ἐπέ-
θηκεν ἐπὶ τὸ στέαρ, καὶ τὸν βραχίονα τὸν δεξιὸν,
[26] καὶ ἐπέθηκεν τὰ πάντα ἐπὶ τὰς χεῖρας Ἀαρὼν,
καὶ ἐπὶ τὰς χεῖρας τῶν υἱῶν αὐτοῦ· καὶ ἀνήνεγ-
κεν s) αὐτὰ ἀφαίρεμα ἔναντι κυρίου· [27] καὶ
ἔλαβεν Μωϋσῆς ἀπὸ τῶν χειρῶν αὐτῶν, καὶ ἀνήν-
εγκεν αὐτὰ ἐπὶ τὸ θυσιαστήριον ἐπὶ τὸ ὁλοκαύτω-
μα τῆς τελειώσεως ὀσμὴ εὐωδίας κάρπωμα t)
ἐστιν τῷ κυρίῳ·
[28] Καὶ λαβὼν Μωϋσῆς τὸ στηθύνιον, ἀφεῖλεν αὐτὸ
ἐπίθεμα u) ἔναντι κυρίου, ἀπὸ τοῦ κριοῦ τῆς τε-
λειώσεως· καὶ ἐγένετο Μωϋσῇ ἐν μερίδι καθὰ
ἐνετείλατο κύριος τῷ Μωϋσῇ· [29] καὶ ἔλαβεν Μωϋ-
σῆς ἀπὸ τοῦ ἐλαίου τῆς χρίσεως, καὶ ἀπὸ τοῦ αἵ-
*39 ματος τοῦ ἐπὶ τοῦ θυσιαστηρίου, καὶ προσέρῤῥανεν *
ἐπὶ Ἀαρὼν, καὶ ἐπὶ τὰς στολὰς αὐτοῦ, καὶ ἐπὶ
τοὺς

m) ΑΚ. τὴν κέρκον. ΣΥ. ΘΕ. τὸ κέρκεον.
n) ΑΚ. τὴν περισσίαν τοῦ ἥπατος.
o) οἱ Λ. καὶ τὴν κνημίδα τὴν δεξιάν.
p) τῶν ἀζύμων.
q) οἱ Λ. κολλύραν ψωμὸν ἠλιμμένον.
r) ἁπαλόν. s) ἀφώρισεν.
t) προσφορά. u) ἀφόρισμα.

τοὺς υἱοὺς αὐτοῦ, καὶ ἐπὶ τὰς στολὰς τῶν υἱῶν αὐτοῦ
μετ' αὐτοῦ· [30] καὶ ἡγίασεν τὸν Ἀαρὼν καὶ τὰς
στολὰς αὐτοῦ καὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ τὰς στολὰς
τῶν υἱῶν αὐτοῦ μετ' αὐτοῦ· [31] καὶ εἶπεν Μωϋσῆς
πρὸς Ἀαρὼν, καὶ τοὺς υἱοὺς αὐτοῦ· ἑψήσατε τὰ
κρέα ἐν τῇ αὐλῇ τῆς σκηνῆς τοῦ μαρτυρίου, ἐν τόπῳ ἁγίῳ, καὶ ἐκεῖ φάγεσθε αὐτὰ, καὶ τοὺς ἄρτους τοὺς ἐν τῷ κανῷ τῆς τελειώσεως, ὃν τρόπον συντέτακταί μοι λέγων· Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ
φάγονται αὐτά, [32] καὶ τὸ καταλειφθὲν τῶν
κρεῶν, καὶ τῶν ἄρτων, ἐν πυρὶ κατακαύσετε·
[33] καὶ ἀπὸ τῆς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου οὐκ
ἐξελεύσεσθε ἑπτὰ ἡμέρας, ἕως ἡμέρα πληρωθῇ x), ἡμέρα τελειώσεως ὑμῶν· ἑπτὰ γὰρ
ἡμέρας τελειώσει τὰς χεῖρας ὑμῶν [34] καθάπερ
ἐποίησεν, ἐν τῇ ἡμέρᾳ ταύτῃ ᾗ ἐνετείλατο κύριος
τοῦ ποιῆσαι, ὥστε ἐξιλάσασθαι περὶ ὑμῶν, [35] καὶ
ἐπὶ y) τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου καθέσεσθε ἑπτὰ ἡμέρας, ἡμέραν καὶ νύκτα καὶ φυλάξεσθε τὰ φυλάγματα κυρίου, ἵνα μὴ ἀποθάνητε, οὕτως γάρ μοι ἐνετείλατο ὁ κύριος· [36] καὶ
ἐποίησεν z) Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ πάντας τοὺς λόγους, οὓς συνέταξεν κύριος τῷ Μωϋσῇ·

VIIII. [1] Καὶ ἐγενήθη τῇ ἡμέρᾳ τῇ ὀγδόῃ, ἐκάλεσεν KZ
Μωϋσῆς a) Ἀαρὼν καὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ τὴν
γερουσίαν Ἰσραήλ· [2] καὶ εἶπεν Μωϋσῆς πρὸς
Ἀαρών· λάβε σὲ αὐτῷ μοσχάριον b) ἐκ βοῶν

 περὶ

x) ἡμέρας πληρώσεως, ἡμερῶν τελειώσεως ὑμῶν.
y) μήποτε οὐ δύναται ταῦτα κατὰ τὸ ῥητὸν ποιῆσαι.
z) οἱ ἀληθινοὶ ἱερεῖς ποιοῦσιν ἔργῳ τοὺς λόγους, οὓς συνέταξεν κύριος ἐν τῇ δευσῃ τάξει παραδιδοὺς, καὶ συνέταξεν τὸ Μωϋσέως ἀντὶ τοῦ νόμου πολλάκις παραλαμβάνεσθαι πρόσωπον.
a) τοὺς σοφούς. b) δάμαλιν.

περὶ ἁμαρτίας, καὶ κριὸν εἰς ὁλοκαύτωμα ἄμωμα,
καὶ προσένεγκε αὐτὰ ἔναντι κυρίου, 3 καὶ τῇ γε-
ρουσίᾳ Ἰσραὴλ λαλήσεις λέγων· λάβετε χίμα-
ρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας καὶ κριὸν καὶ μο-
σχάριον, καὶ ἀμνὸν ἐνιαύσιον εἰς ὁλοκάρπωσιν
*40 ἄμωμα· 4 καὶ μοσχάριον ἐκ βοῶν * καὶ κριὸν
εἰς θυσίαν σωτηρίου ἐναντίον κυρίου· καὶ σεμίδα-
λιν c) ἀναπεφυραμένην ἐν ἐλαίῳ, ὅτι σήμερον
κύριος ὀφθήσεται ἐν ὑμῖν· 5 καὶ ἔλαβον καθ' ὃ
ἐνετείλατο Μωϋσῆς ἀπέναντι τῆς σκηνῆς τοῦ μαρ-
τυρίου· καὶ προσῆλθεν πᾶσα ἡ συναγωγὴ καὶ
ἔστησαν ἔναντι κυρίου, 6 καὶ εἶπεν Μωϋσῆς· τοῦτο
τὸ ῥῆμα ὃ εἶπεν κύριος ποιήσατε, καὶ ὀφθήσεται
ἐν ὑμῖν ἡ δόξα κυρίου· 7 καὶ εἶπεν Μωϋσῆς τῷ
Ἀαρών· πρόσελθε d) πρὸς τὸ θυσιαστή-
ριον καὶ ποίησον τὸ περὶ e) τῆς ἁμαρτίας σου, καὶ
τὸ ὁλοκαύτωμά σου, καὶ ἐξίλασε περὶ σὲ αὐτοῦ,
καὶ τοῦ οἴκου σου, καὶ ποίησον τὰ δῶρα τοῦ λαοῦ καὶ
ἐξίλασαι περὶ αὐτῶν, καθάπερ ἐνετείλατο κύριος
τῷ Μωϋσῇ·
8 καὶ προσῆλθεν f) Ἀαρὼν πρὸς τὸ θυσιαστήριον,
καὶ ἔσφαξε τὸ μοσχάριον τὸ περὶ τῆς ἁμαρτίας
τὸ αὐτοῦ g), 9 καὶ προσήνεγκαν οἱ υἱοὶ Ἀαρὼν τὸ
αἷμα

c) πόθεν σεμίδαλιν οὐκ ὄντος σίτου, ζητήσεις εἰ μὴ ἀπὸ τοῦ μάννα ἀλήθονται αὐτὸ ἐν τῷ μύλῳ.

d) πρῶτον Ἀαρὼν τελειωθεὶς, θυσιάζει περὶ ἑαυτοῦ καὶ τοῦ οἴκου αὐτοῦ· πρότερον φαγὼν ἐν τόπῳ ἅγια κρέα ἃ ἥψησεν ἐν τῇ αὐλῇ τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ τοὺς ἄρτους τοὺς ἐν τῷ κανῷ τῆς τελειώσεως.

e) τὸν ἱλασμόν.

f) τούτῳ χρήσει πρὸς τοὺς διὰ τὸ μὴ εἰδέναι τὴν συνήθειαν τῆς γραφῆς, οἰομένους δύο θεοὺς λέγεσθαι ἐν τοῖς τοιούτοις. ἐρεῖς γὰρ, ὅτι καὶ Μωϋσεῖς δύο εἰσιν, ὅπερ ἄτοπον.

g) ὅ ἐστιν αὐτῷ.

αἷμα πρὸς αὐτόν· καὶ ἔβαψεν τὸν δάκτυλον αὐ-
τȣ̃ εἰς τὸ αἷμα, καὶ ἐπέθηκεν ἐπὶ τὰ κέρατα τȣ̃
θυσιαϛηρίȣ, καὶ τὸ αἷμα ἐξέχεεν ἐπὶ τὴν βάσιν
τȣ̃ θυσιαϛηρίȣ· 10 καὶ τὸ ϛέαρ καὶ τȣ̀ς δύο νε-
φρȣ̀ς, καὶ τὸν λοβὸν h) τὸν ἐπὶ τȣ̃ ἥπατος τȣ̃
περὶ τῆς ἁμαρτίας, ἀνήνεγκεν ἐπὶ τὸ θυσιαϛή-
ριον, ὃν τρόπον ἐνετείλατο κύριος τῷ Μωϋσῇ· 11 καὶ
τὰ κρέα, καὶ τὴν βύρσαν κατέκαυσαν πυρὶ, ἔξω
τῆς παρεμβολῆς, 12 καὶ ἔσφαξαν τὸ ὁλοκαύτω-
μα καὶ προσήνεγκαν οἱ υἱοὶ Ἀαρὼν τὸ αἷμα πρὸς
αὐτὸν, καὶ προσέχεεν πρὸς τὸ θυσιαϛήριον κύ-
κλῳ, 13 καὶ τὸ ὁλοκαύτωμα προσήνεγκαν αὐτῷ
κατὰ μέλη, αὐτὰ καὶ τὴν κεφαλὴν καὶ ἐπέθη-
κεν ἐπὶ τὸ θυσιαϛήριον· 14 καὶ ἔπλυνε τὴν κοι-
λίαν i) καὶ τȣ̀ς πόδας ὕδατι, καὶ ἐπέθηκεν ἐπὶ
τὸ ὁλοκαύτωμα ἐπὶ τὸ θυσιαϛήριον· 15 καὶ προσ-
ήνεγκεν τὸ δῶρον τȣ̃ λαȣ̃, καὶ ἔλαβεν τὸν χί-
μαῤῥον τὸν περὶ τῆς ἁμαρτίας τȣ̃ λαȣ̃, καὶ ἔσφα-
ξεν αὐτὸν, * καὶ ἐκαθέρισεν k) καθὰ καὶ τὸν *41
πρῶτον· 16 καὶ προσήνεγκεν τὸ ὁλοκαύτωμα, καὶ
ἐποίησεν αὐτὸ ὡς καθήκει, 17 καὶ προσήνεγκεν
τὴν θυσίαν καὶ ἔπλησεν τὰς χεῖρας ἀπ᾽ αὐτῆς,
καὶ ἐπέθηκεν ἐπὶ τὸ θυσιαϛήριον χωρὶς τȣ̃ ὁλο-
καυτώματος τȣ̃ πρωϊνȣ̃, 18 καὶ ἔσφαξεν τὸν μό-
σχον, καὶ τὸν κριὸν τῆς θυσίας τȣ̃ σωτηρίȣ l)
τῆς τȣ̃ λαȣ̃, καὶ προσήνεγκαν m) οἱ υἱοὶ Ἀαρὼν
τὸ αἷμα πρὸς αὐτὸν, καὶ προσέχεεν πρὸς τὸ θυ-
σιαϛήριον κύκλῳ, 19 καὶ τὸ ϛέαρ τὸ ἀπὸ τȣ̃ μό-
σχȣ, καὶ τὸ ἀπὸ τȣ̃ κριȣ̃ τὴν ὀσφῦν· καὶ τὸ

 ϛέαρ

h) τὸ περισσὸν τȣ̃ ἥπατος.
i) τὰ ἐνδόσθια.
k) ΑΚ. περιημάρτησεν ἵλασεν.
l) τῶν εἰρηνικῶν.
m) ἐπέδωκαν.

στέαρ τὸ κατακαλύπτον ἐπὶ τῆς κοιλίας, καὶ τοὺς
δύο νεφροὺς, καὶ τὸ στέαρ τὸ ἐπ᾽ αὐτῶν, καὶ τὸν
λοβὸν τὸν ἐπὶ τοῦ ἥπατος, 20 καὶ ἐπέθηκεν τὰ στέα-
τα ἐπὶ τὰ στηθύνια, καὶ ἀνήνεγκεν τὰ στέατα ἐπὶ
τὸ θυσιαστήριον 21 καὶ τὸ στηθύνιον, καὶ τὸν βρα-
χίονα n) τὸν δεξιὸν ἀφεῖλεν Ἀαρὼν ἀφαίρεμα
ἔναντι κυρίου, ὃν τρόπον συνέταξεν Μωϋσῆς· 22 καὶ
ἐξάρας Ἀαρὼν τὰς χεῖρας ἐπὶ τὸν λαὸν, ηὐλό-
γησεν o) αὐτοὺς, καὶ κατέβη ποιήσας τὸ περὶ
τῆς ἁμαρτίας καὶ τὰ ὁλοκαυτώματα, καὶ τὰ τοῦ
σωτηρίου· 23 καὶ εἰσῆλθεν Μωϋσῆς καὶ Ἀαρὼν
εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ ἐξελθόντες, ηὐλό-
γησαν πάντα τὸν λαόν· καὶ ὤφθη p) ἡ
δόξα κυρίου παντὶ τῷ λαῷ, 24 καὶ ἐξῆλθεν πῦρ
παρὰ κυρίου, καὶ κατέφαγεν τὰ ἐπὶ τοῦ θυσια-
στηρίου, τά τε ὁλοκαυτώματα καὶ τὰ στέατα·
καὶ ἴδεν πᾶς ὁ λαὸς καὶ ἐξέστη, καὶ ἔπεσαν ἐπὶ
πρόσωπον· X. 1 καὶ λαβόντες οἱ δύο υἱοὶ
IS Ἀαρὼν q) Ναδὰβ καὶ Ἀβιοὺδ ἕκαστος τὸ
πυρεῖον r) αὐτοῦ, ἐπέθηκαν ἐπ᾽ αὐτὰ πῦρ,
καὶ

IS ΠΕΡΙ ΝΑΔΑΒ ΚΑΙ ΑΒΙΟΥΔ ΤΩΝ ΥΙΩΝ ΑΑΡΩΝ.

n) τὴν κνήμην.

o) Ἀαρὼν πρῶτος εὐλογεῖ.

p) οὐκ εἴρηται νῦν ὤφθη ὁ θεός· λαῷ γὰρ οὐκ ἂν ὤφθη, ἅτε μὴ χωροῦντι, ὡς τὸ πῦρ οὐκ ἀπὸ τῆς οὐσίας ἐξῆλθεν τοῦ θεοῦ, καὶ ἐπὶ τὴν θυσίαν οἱ ἱερεῖς οὐκ ἂν ἅπτουσι πῦρ, ἀλλὰ ἐξῆλθεν παρὰ κυρίου, καὶ ζήτει εἰ τὸ αὐτό ἐστιν τῷ ἐξελθόντι καὶ αὐτῷ παρὰ κυρίου, καὶ καταφαγόντι μέρος παρεμβολῆς κατέναντι ἐπὶ τὴν μανωὲ θυσίαν πῦρ παρὰ κυρίου, καὶ ἐπὶ τὴν Ἠλιοῦ ἐν τῷ Καρμήλῳ.

q) Ἀαρὼν ὄρος δυνάμεως, Ναδὰβ᾽ ἑκούσιος, Ἀβιοὺδ᾽ πατὴρ αὐτῶν.

r) θυμιατήριον.

καὶ ἐπέβαλον ἐπ᾽ αὐτὰ θυμίαμα· καὶ
προσήνεγκαν s) ἔναντι κυρίου πῦρ ἀλ-
λότριον, ὃ οὐ προσέταξεν κύριος αὐτοῖς· 2 καὶ
ἐξῆλθεν *) πῦρ παρὰ κυρίου, καὶ κατέφαγεν
αὐτοὺς καὶ ἀπεθάνωσαν ἔναντι κυρίου· 3 καὶ
εἶπεν Μωϋσῆς πρὸς Ἀαρὼν, τοῦτό ἐστιν
ὃ εἶπεν κύριος λέγων, ἐν τοῖς ἐγγίζουσιν t) μοι
ἁγιασθήσομαι, * καὶ ἐν πάσῃ τῇ συναγωγῇ* 42
δοξασθήσομαι· καὶ u) κατενύχθη x) Ἀαρὼν,
4 καὶ ἐκάλεσεν Μωϋσῆς τὸν y) Μισαδαὶ z) καὶ
τὸν Ἐλισαφὰν a) υἱοὺς Ὀζιὴλ, υἱοὺς τοῦ ἀδελφοῦ τοῦ
πατρὸς Ἀαρὼν, καὶ εἶπεν αὐτοῖς· προσέλ-
θετε καὶ ἄρατε τοὺς ἀδελφοὺς ὑμῶν, ἐκ προσώ-
που τῶν ἁγίων ἔξω τῆς παρεμβολῆς· 5 καὶ
προσῆλθον καὶ ἦραν αὐτοὺς ἐν τοῖς χιτῶσιν αὐ-
τῶν ἔξω τῆς παρεμβολῆς, ὃν τρόπον εἶπεν Μωϋσῆς
6 πρὸς Ἀαρὼν, καὶ Ἐλεάζαρ b), καὶ Ἰθάμαρ c)

 τοὺς

s) ὁ προσάγων πῦρ ἀλλότριον κατὰ τὸ πεπυρῶσθαι ἀπὸ τῆς κακίας, ἐὰν προσαγάγῃ θυσίαν τῷ θεῷ ὑπὸ τοῦ θείου πυρὸς κατακαυθήσεται.

*) τοῦτο τὸ σημεῖον στρέψον καὶ ἔγειρον τὸ φύλλον, καὶ εὑρήσεις αὐτό.

t) οἱ ἐγγίζοντες θεῷ, τάχιον ἐπὶ τοῖς ἁμαρτήμασιν κολάζονται, καθαρθησόμενοι καὶ ἁγιασθησόμενοι.

u) παρεμυθήθη.

x) ἐσιώπησεν.

y) μισαήλ.

z) μισαδαὶ ψηλαφωμένη κρίσις.

a) ἐλισαφὰν, θεοῦ σκοπιάν.
ὀζιὴλ, ἰσχὺς αὐτοῦ.

b) ἐλεάζαρ, πατρὸς βοηθόν.

c) ἰθάμαρ, νήσους φοινίκων· δυν. νῆσον ἀλλαξάντων.

*) οὐκ ἀπὸ τοῦ ἐξελθόντος παρὰ κυρίου, ἴδιον γὰρ αὐτοῦ ἐκεῖνο, δι᾽ ὃ ἀλλότριον ἀκούει ὃ αὐτοὶ προσήνεγκαν, καὶ νῦν δὲ ἐξῆλθεν πῦρ παρὰ κυρίου καὶ κατέφαγεν αὐτούς. περὶ οὗ ζητήσεις εἰ τὸ αὐτό ἐστιν τῷ κατεσθίοντι τὰ ὁλοκαυτώματα.

τοὺς υἱοὺς αὐτοῦ τοὺς καταλελειμμένους, τὴν d)
κεφαλὴν e) ὑμῶν οὐκ ἀποκιδαρώσετε f), καὶ
τὰ ἱμάτια ὑμῶν οὐ διαῤῥήξετε ἵνα μὴ ἀποθά-
νητε· καὶ ἐπὶ πᾶσαν τὴν συναγωγὴν, ἔσαι θυ-
μός· οἱ δὲ ἀδελφοὶ ὑμῶν πᾶς οἶκος Ἰσραὴλ
κλαύσονται τὸν ἐμπυρισμὸν, ὃν ἐνεπυρίσθησαν
ὑπὸ κυρίου· 7 καὶ ἀπὸ τῆς θύρας τῆς σκη-
νῆς τοῦ μαρτυρίου οὐκ ἐξελεύσεσθε, ἵνα μὴ ἀπο-
θάνητε· τὸ ἔλαιον γὰρ τῆς χρίσεως τὸ παρὰ
κυρίου, ἐφ' ὑμῖν ἐσιν· καὶ ἐποίησαν κατὰ τὸ
ῥῆμα Μωϋσῆ·
ΙΖ 8 Καὶ ἐλάλησεν g) κύριος τῷ Ἀαρὼν λέγων· 9 οἶ-
νον h) καὶ σίκερα οὐ πίεσθε, σὺ καὶ οἱ υἱοί σου
μετὰ σοῦ, ἡνίκα ἂν εἰσπορεύησθε εἰς τὴν σκηνὴν
τοῦ μαρτυρίου· ἢ προσπορευομένων ὑμῶν πρὸς τὸ
θυσιαστήριον καὶ οὐ μὴ ἀποθάνητε· νόμιμον αἰώ-
νιον εἰς τὰς γενεὰς ὑμῶν, 10 διαστεῖλαι ἀναμέσον
τῶν ἁγίων καὶ τῶν βεβήλων· καὶ ἀναμέσον
ΙΗ τῶν ἀκαθάρτων, καὶ ἀναμέσον τῶν καθαρῶν,
11 καὶ συμβιβάζειν i) τοὺς υἱοὺς Ἰσραὴλ πάντα
τὰ

ΙΖ ΠΕΡΙ ΤΟΥ ΜΗ ΔΕΙΝ ΙΕΡΕΑ ΟΙΝΟΝ ΚΑΙ ΣΙΚΕΡΑ ΠΙΝΕΙΝ ΗΝΙΚΑ ΠΡΟΣΦΕΡΕΙ ΤΑΣ ΘΥΣΙΑΣ ΤΟΥ ΚΥΡΙΟΥ.

d) ἔνθεν μᾶλλον δυνατὸν σημειώσασθαι, ὅτι οὐ δεῖ πενθεῖν ἐπὶ νεκρῷ τοὺς ἱερεῖς· τοῖς γὰρ λαϊκοῖς οὐκ ἀπείρηται πενθεῖν καὶ κλαίειν ἐπὶ νεκρῷ· ἐν δὲ τῷ τεσσαρακοστῷ ὀγδόῳ, ἢ τεσσαρακοστῷ δευτέρῳ ἀριθμῷ, πάλιν περὶ πένθους διαλαμβάνει τοῦ μεγάλου ἱερέως.

e) καλύψετε. f) παραλύσετε.

g) ἄρχεται κύριος μόνῳ τῷ Ἀαρὼν λαλεῖν.

h) μόνη ἡ οἴνου καὶ σίκερα ἀποχὴ, κοινὴ πρὸς τοὺς ναζηραίους τοῖς ἱερεῦσιν.

i) ὅτι ἱερέως ἔργον τὸ συμβιβάζειν τὰ νόμιμα κυρίου, εἰ δὲ μὴ συμβιβάζει, οὐχ ἱερεύς.

τὰ νόμιμα ὅσα ἐλάλησεν κύριος πρὸς αὐτὰς διὰ
χειρὸς Μωϋσῆ·
12 Καὶ εἶπεν Μωϋσῆς πρὸς Ἀαρὼν καὶ πρὸς Ἐλεά-
ζαρ, καὶ πρὸς Ἰθάμαρ τὰς υἱὰς αὐτᾶ τὰς κατα-
λειφθέντας· λάβετε τὴν θυσίαν τὴν κατα-
λειφθεῖσαν ἀπὸ τῶν καρπωμάτων κυρία καὶ
φάγετε ἄζυμα παρὰ τὸ θυσιαστήριον, ἅγια
ἁγίων ἐστίν· 13 καὶ φάγεσθε αὐτὰ ἐν τόπῳ ἁγίῳ
νόμιμον γάρ σοι ἐστιν, καὶ νόμιμον τοῖς * υἱοῖς* 43
σα τᾶτο, ἀπὸ τῶν καρπωμάτων k) κυρία· ἅτω
γὰρ ἐντέταλταί μοι κύριος, 14 καὶ τὸ στηθύνιον
τᾶ ἀφορίσματος, καὶ τὸν βραχίονα τᾶ ἀφαιρέ-
ματος φάγεσθε ἐν τόπῳ ἁγίῳ, σὺ καὶ οἱ υἱοί
σα καὶ ὁ οἶκός σα αἱ θυγατέρες σα μετὰ σᾶ·
νόμιμον γάρ σοι καὶ νόμιμον τοῖς υἱοῖς σα ἐδό-
θη, ἀπὸ τῶν θυσιῶν τῶν σωτηρίων τῶν υἱῶν
Ἰσραὴλ, 15 τὸν βραχίονα τᾶ ἀφαιρέματος, καὶ
τὸ στηθύνιον τᾶ ἀφορίσματος, ἐπὶ τῶν καρπω-
μάτων τῶν στεάτων προσοίσασιν ἀφόρισμα ἀφο-
ρίσαι ἔναντι κυρία· καὶ ἔσαι σοι καὶ τοῖς υἱοῖς
σα, καὶ ταῖς θυγατράσιν σα μετὰ σᾶ, νόμιμον
αἰώνιον ὃν τρόπον συνέταξεν κύριος τῷ Μωϋσῇ,
16 καὶ τὸν χίμαρον τὸν περὶ τῆς ἁμαρτίας, ζη-
τῶν ἐξεζήτησεν Μωϋσῆς· καὶ ὁ δὲ ἐνεπεπύρι-
στο l)· καὶ ἐθυμώθη Μωϋσῆς ἐπὶ Ἐλεάζαρ καὶ
Ἰθάμαρ τὰς υἱὰς Ἀαρὼν τὰς καταλελειμμένας
λέγων· 17 διὰ τί ἀκ᾽ ἐφάγετε τὸ περὶ τῆς
ἁμαρτίας ἐν τόπῳ ἁγίῳ· ὅτι γὰρ ἅγια ἁγίων
ἐστιν, τᾶτο δέδωκεν ὑμῖν φαγεῖν, ἵνα ἀφέλητε m)
τὴν ἁμαρτίαν τῆς συναγωγῆς, καὶ ἐξιλάσησθε
περὶ

k) προσφορῶν. l) ἐκέκαυτο.
m) ἀναδέξασθε.

περὶ αὐτῶν ἐναντίον κυρίου· [18] οὐ γὰρ εἰσηνέχ-
θη τοῦ αἵματος αὐτοῦ εἰς τὸ ἅγιον,
κατὰ πρόσωπον ἔσω, φάγεσθε αὐτὸ ἐν
τόπῳ ἁγίῳ, ὃν τρόπον συνετάγη μοι·
[19] καὶ ἐλάλησεν n) Ἀαρὼν πρὸς Μωϋσῆν λέγων·
εἰ σήμερον προσαγειόχασι τὰ περὶ τῆς ἁμαρ-
τίας αὐτῶν, καὶ τὰ ὁλοκαυτώματα αὐτῶν
ἐναντίον κυρίου, καὶ συμβέβηκέ o) μοι
τοιαῦτα, καὶ φάγομαι τὸ περὶ τῆς ἁμαρ-
τίας σήμερον, μὴ p) ἀρεςὸν ἔςαι κυ-
ρίῳ· [20] καὶ ἤκουσεν Μωϋσῆς, καὶ ἤρεσεν
αὐτῷ· XI. [1] καὶ ἐλάλησεν κύριος πρὸς Μωϋ-
ΙΗ
ΚΘ σῆν καὶ Ἀαρὼν λέγων· [2] λαλήσατε τοῖς υἱοῖς
Ἰσραὴλ λέγοντες· ταῦτα τὰ κτήνη q) ἃ φάγε-
σθε ἀπὸ πάντων τῶν κτηνῶν τῶν ἐπὶ τῆς γῆς r)·
[3] πᾶν κτῆνος s) διχηλοῦν t) ὁπλὴν καὶ ὀνυχιςή-
ρας ὀνυχίζον δύο χηλῶν καὶ ἀνάγον μηρυκισμὸν
*44 ἐν τοῖς κτήνεσιν, ταῦτα φάγεσθε· * [4] πλὴν ἀπὸ
τούτων u) οὐ φάγεσθε ἀπὸ τῶν ἀναγόντων μηρυ-
κισμὸν, καὶ ἀπὸ τῶν διχηλούντων τὰς ὁπλὰς,
καὶ

ΙΗ ΠΕΡΙ ΒΡΩΜΑΤΩΝ ΝΟΜΟΥ.

n) ἀκολούθως, τῷ μὴ οὖν τίς ὑμᾶς κρινέτω ἐν βρώσει ἢ ἐν πόσει, καὶ τῷ μετ' ὀλίγα ἅ ἐςιν σκιὰ τῶν μελλόντων· ζητήσεις τίνων μελλόντων ταῦτα σκιά ἐςιν.

o) καθάπερ λοιδορία.

p) εἰ ἀρεςόν. q) ζῶα.

r) εἴη ἐπὶ τῆς γῆς προσθήκη, μὴ μάτην ζητήσειν ἵππους, ἢ τί τούτων ὅμοια.

s) τρία δεῖ εἶναι τῷ ἐσθιομένῳ κτήνη ἐπὶ τῆς γῆς, καὶ οὐχ ὡς οἴονται τινες δύο, τὸ διχηλεῖν ὁπλὴν, καὶ ὀνυχιςήρας ὀνυχίζειν καὶ ἀνάγειν μηρυκισμόν.

t) διχηλεῖον.

u) εἰ ἐςιν καὶ ἀλλαχὴ κτήνη ἀλλότρια δεῖ εἶναι τῷ ἐσθιομένῳ κτήνει ἐπὶ τῆς γῆς.

καὶ ὀνυχιζόντων ὀνυχιστῆρας· τὸν κάμηλον [x]), ὅτι ἀνάγει μηρυκισμὸν τοῦτο, καὶ ὁπλὴν οὐ διχηλεῖ, ἀκάθαρτον τοῦτο ὑμῖν· 5 καὶ τὸν δασύποδα [y]), ὅτι ἀνάγει μηρυκισμὸν τοῦτο, καὶ ὁπλὴν οὐ διχηλεῖ, ἀκάθαρτον τοῦτο ὑμῖν· 6 καὶ τὸν χοιρογύλλιον, ὅτι ἀνάγει μηρυκισμὸν τοῦτο, καὶ ὁπλὴν οὐ διχηλεῖ, ἀκάθαρτον τοῦτο ὑμῖν· 7 καὶ τὸν ὗν, ὅτι διχηλεῖ ὁπλὴν τοῦτο, καὶ ὀνυχίζει ὄνυχας ὁπλῆς, καὶ τοῦτο οὐκ ἀνάγει μηρυκισμόν, ἀκάθαρτον τοῦτο ὑμῖν· 8 ἀπὸ τῶν κρεῶν αὐτῶν οὐ φάγεσθε, καὶ τῶν θνησιμαίων [z]) αὐτῶν οὐχ ἅψεσθε, ἀκάθαρτα [a]) ταῦτα ὑμῖν· 9 καὶ ταῦτα φάγεσθε ἀπὸ πάντων τῶν ἐν τοῖς ὕδασιν· πάντα ὅσα ἐστὶν αὐτοῖς πτερύγια, καὶ λεπίδες ἐν τοῖς ὕδασιν, καὶ ἐν ταῖς θαλάσσαις καὶ ἐν τοῖς χιμάῤῥοις ταῦτα φάγεσθε· 10 καὶ πάντα ὅσα οὐκ ἔστιν αὐτοῖς πτερύγια, οὐδὲ λεπίδες ἐν τοῖς ὕδασιν, ἢ καὶ ἐν ταῖς θαλάσσαις, καὶ ἐν τοῖς χιμάῤῥοις, ἀπὸ πάντων ὧν ἐρεύγεται τὰ ὕδατα· καὶ ἀπὸ πάσης ψυχῆς τῆς ζώσης ἐν τῷ ὕδατι, βδέλυγμά ἐστιν καὶ βδελύγματα ἔσονται ὑμῖν· 11 ἀπὸ τῶν κρεῶν αὐτῶν οὐκ ἔδεσθε· καὶ τὰ θνησιμαῖα [b]) αὐτῶν βδελύξεσθε, 12 καὶ πάντα ὅσα οὐκ ἔστιν αὐτοῖς πτερύγια καὶ λεπίδες τῶν ἐν τοῖς ὕδασι, βδέλυγμα τοῦτο ἐστιν ὑμῖν, 13 καὶ ταῦτα βδελύξεσθε ἀπὸ τῶν πετεινῶν καὶ οὐ βρωθήσεται, βδέλυγμά

x) ὀνομαστὶ ἀπαγορεύει κάμηλον, χοιρογρύλλιον, δασύποδα, ὡς λείποντα τῇ διχηλήσει, ὗν, ὡς λείποντα τῇ ἀναμαρυκήσει.

y) ΑΚ. λαγωόν.

z) τὰ θνησιμαῖα αὐτῶν βδελύξασθε.

a) οὐ μεμέμνηται τῶν μηδέτερον ἐχόντων οἷον ὄνου.

b) ζητητέον πῶς λέγεται ἔνυδρα θνησιμαῖα, καὶ μήποτε τὰ ἐν ὕδατι ἀποθνήσκοντα.

βδέλυγμά ἐστιν· τὸν ἀετὸν, καὶ τὸν γρύπα, καὶ
τὸν ἁλιαίετον, [14] καὶ τὸν γύπα, καὶ τὸν ἴκτι-
να c), καὶ τὰ ὅμοια αὐτῷ· καὶ πάντα κόρακα,
καὶ τὰ ὅμοια αὐτῷ· [15] καὶ στρουθὸν d), καὶ γλαῦκα,
καὶ λάρον, καὶ τὰ ὅμοια αὐτῷ· [16] καὶ νυκτικόρακα e)
καὶ καταρράκτην f), καὶ ἴβιν, [17] καὶ πορφυρίωνα,
καὶ πελεκάνα, καὶ κύκνον g), [18] καὶ ἐρωδιὸν, καὶ
χαράδριον, καὶ τὰ ὅμοια αὐτῷ, καὶ ἔποπα,
*45 καὶ νυ*κτερίδα h), [19] καὶ πάντα τὰ ἑρπετὰ τῶν
πετεινῶν ἃ πορεύεται ἐπὶ τεσσάρων, βδέλυγμα
ὑμῖν ἐστιν· [20] ἀλλὰ ταῦτα φάγεσθε ἀπὸ τῶν
ἑρπετῶν τῶν πετεινῶν, ἃ πορεύεται ἐπὶ τεσσάρων
ἃ ἔχει σκέλη ἀνώτερον τῶν ποδῶν αὐτοῦ ἀποπηδᾷν
ἐν αὐτοῖς ἐπὶ τῆς γῆς [21] καὶ ταῦτα φάγεσθε ἀπ'
αὐτῶν· τὸν βροῦχον i) καὶ τὰ ὅμοια αὐτῷ: καὶ
τὸν ἀττάκην, καὶ τὰ ὅμοια αὐτῷ· καὶ τὴν ἀκρίδα,
καὶ τὰ ὅμοια αὐτῇ· καὶ τὸν ὀφιομάχην k) καὶ
τὰ ὅμοια αὐτῷ· [22] καὶ πᾶν ἑρπετὸν ἀπὸ τῶν πε-
τεινῶν οἷς ἐστὶν τέσσαρες πόδες, βδέλυγμα ὑμῖν
ἐστιν, [23] καὶ ἐν τούτοις μιανθήσεσθε· πᾶς ὁ
ἁπτόμενος τῶν θνησιμαίων αὐτῶν, ἀκάθαρτος
ἔσται ἕως ἑσπέρας· [24] καὶ πᾶς ὁ αἴρων τῶν θνη-
σιμαίων αὐτῶν, πλυνεῖ τὰ ἱμάτια αὐτοῦ, καὶ
ἀκάθαρτος ἔσται ἕως ἑσπέρας, [25] ἐν πᾶσιν τοῖς
κτήνεσιν ὅ ἐστιν διχηλοῦν l) ὁπλὴν καὶ ὀνυχιστῆρας
ὀνυχί-

c) εἰς τὸ γένος αὐτοῦ. d) στρουθοκάμηλον.
e) καὶ ἱέρακα καὶ τὰ ὅμοια αὐτῷ.
f) τὸν τηρέα. g) τὸν ταόν.
h) τὴν χελιδόνα καὶ τὸν ἀφάρπαγα.
i) γόβα. k) ἀττακίδα.
l) ειον
ἁπλοῦν πόδα καὶ μὴ διχηλοῦν ὁπλήν.

ὀνυχίζει, καὶ μηρυκισμὸν ȣ̓ μαρυκᾶται m) ἀκά-
θαρτα ἔσονται ὑμῖν· πᾶς ὁ ἁπτόμενος τῶν
θνησιμαίων αὐτῶν, ἀκάθαρτος ἔςαι ἕως ἑσπέ-
ρας· [26] καὶ πᾶς ὃς πορεύεται ἐπὶ χειρῶν ἐν πᾶσι
τοῖς θηρίοις, ἃ πορεύεται ἐπὶ τεσσάρων, ἀκά-
θαρτά ἐςιν ὑμῖν· πᾶς ὁ ἁπτόμενος τῶν
θνησιμαίων αὐτῶν, ἀκάθαρτος ἔςαι ἕως ἑσπέ-
ρας· [27] καὶ ὁ αἴρων τῶν θνησιμαίων αὐτῶν,
πλυνεῖ τὰ ἱμάτια αὐτȣ̃, καὶ ἀκάθαρτος ἔςαι
ἕως ἑσπέρας, ἀκάθαρτα ταῦτα ὑμῖν ἐςιν·
[28] καὶ ταῦτα ὑμῖν ἀκάθαρτα, ἀπὸ τῶν ἑρπετῶν
τῶν ἑρπόντων ἐπὶ τῆς γῆς· ἡ γαλῆ καὶ ὁ μῦς,
καὶ ὁ κροκόδειλος ὁ χερσαῖος, [29] μυγαλῆ, καὶ
ὁ χαμαιλέων, καὶ καλαβώτης, καὶ σαυρὰ, καὶ
σπάλαξ n), [30] ταῦτα ἀκάθαρτα ἐςιν ὑμῖν,
ἀπὸ πάντων τῶν ἑρπετῶν τῶν ἐπὶ τῆς γῆς· πᾶς
ὁ ἁπτόμενος τῶν θνησιμαίων αὐτῶν, ἀκάθαρ-
τος ἔςαι ἕως ἑσπέρας· [1] καὶ πᾶν ἐφ' ὃ ἂν ἐπι-
πέσῃ ἀπ' αὐτῶν, ἐπὶ *τεθνηκότων αὐτῶν ἀκά- *46
θαρτον ἐςιν, ἀπὸ παντὸς σκεύȣς ξυλίνȣ, ἢ
ἱματίȣ, ἢ δέρματος, ἢ σάκκȣ, πᾶν σκεῦος ᾧ
ἐὰν o) ποιηθῇ ἔργον ἐν αὐτῷ, εἰς ὕδωρ βαφή-
σεται καὶ ἀκάθαρτον ἔςαι ἕως ἑσπέρας, καὶ
καθαρὸν ἔςαι· [32] καὶ πᾶν σκεῦος p) ὀςράκινον
εἰς ὃ ἂν ἐμπέσῃ ἀπὸ τȣ́των ἔνδον, ὅσα ἐὰν ἔν-
δον ᾖ, ἀκάθαρτα ἔςαι καὶ αὐτὸ συντριβήσε-
ται· [33] καὶ πᾶν βρῶμα ὃ ἔσθετε, εἰς ὃ ἐὰν
ἐπέλθῃ ἐπ' αὐτὸ ὕδωρ, ἀκάθαρτον ἔςαι ὑμῖν·
καὶ πᾶν ποτὸν ὃ πίνετε ἐν παντὶ ἀγγείῳ, ἀκά-
θαρτον ἔςαι· [34] καὶ πᾶν ὃ ἐὰν ἐμπέσῃ ἀπὸ
τῶν

m) ȣ̓κ ἀνάγει. n) ἀσφάλαξ.
o) ἐν ᾧ γίνεται ἔργον. p) ἄγγος.

τῶν θνησιμαίων αὐτῶν ἐπ' αὐτὸ, ἀκάθαρτον
ἔσται· κρίβανοι καὶ χυτρόποδες καθαιρεθή-
σονται q), ἀκάθαρτα ταῦτα ἐστιν, καὶ ἀκά-
θαρτα ἔσονται ὑμῖν· 35 πλὴν πηγῶν ὑδάτων
καὶ λάκκου, καὶ συναγωγῆς ὕδατος ἔσται καθα-
ρόν· ὁ δὲ ἁπτόμενος τῶν θνησιμαίων αὐτῶν,
ἀκάθαρτος ἔσται· 36 ἐὰν δὲ ἐπιπέσῃ τῶν θνησι-
μαίων αὐτῶν ἐπὶ πᾶν σπέρμα σπόριμον ὃ σπα-
ρήσεται, καθαρὸν ἔσται· 37 ἐὰν δὲ ἐπιχυθῇ
ὕδωρ ἐπὶ πᾶν σπέρμα, καὶ ἐπιπέσῃ τῶν θνησι-
μαίων αὐτῶν ἐπ' αὐτὸ, ἀκάθαρτον ἔσται ὑμῖν·
38 ἐὰν δὲ ἀποθάνῃ τῶν κτηνῶν, ὃ ἐστὶν τοῦτο ὑμῖν
φαγεῖν, ὁ ἁπτόμενος τῶν θνησιμαίων αὐτῶν,
ἀκάθαρτος ἔσται ἕως ἑσπέρας· 39 καὶ ὁ ἐσθίων r)
ἀπὸ τῶν θνησιμαίων τούτων, πλυνεῖ τὰ ἱμάτια,
καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας· καὶ ὁ αἴρων
ἀπὸ τῶν θνησιμαίων αὐτῶν, πλυνεῖ τὰ ἱμάτια
αὐτοῦ καὶ λούσεται ὕδατι, καὶ ἀκάθαρτος ἔσται
ἕως ἑσπέρας· 40 καὶ πᾶν ἑρπετὸν ὃ ἕρπει ἐπὶ τῆς
γῆς, βδέλυγμα τοῦτο ἔσται ὑμῖν, οὐ βρωθήσε-
ται· 41 καὶ πᾶς ὁ πορευόμενος ἐπὶ κοιλίας s),
*47 καὶ πᾶς * ὁ πορευόμενος ἐπὶ τεσσάρων διὰ παν-
τὸς, ὁ πολυπληθεῖ ποσὶν ἐν πᾶσιν τοῖς ἑρπε-
τοῖς, τοῖς ἕρπουσιν ἐπὶ τῆς γῆς, οὐ φάγεσθε αὐ-
τὸ, ὅτι βδέλυγμα ὑμῖν ἐστιν, 42 καὶ οὐ μὴ βδε-
λύξητε τὰς ψυχὰς ὑμῶν, ἐν πᾶσι τοῖς ἑρπε-
τοῖς τοῖς ἕρπουσιν ἐπὶ τῆς γῆς, καὶ οὐ μιανθή-
σεσθε ἐν τούτοις, καὶ οὐκ ἀκάθαρτοι ἔσεσθε ἐν αὐ-
τοῖς, 43 ὅτι ἐγώ εἰμι κύριος ὁ θεὸς ὑμῶν, καὶ
ἁγιασθήσεσθε, καὶ ἅγιοι ἔσεσθε, ὅτι ἅγιός εἰμι
ἐγὼ

q) ἐξαρθήσονται. r) ἐκβυρσεύων.
s) ΑΚ. στῆθος.

ἐγὼ κύριος ὁ θεὸς ὑμῶν, καὶ ὀ μιανεῖτε τὰς
ψυχὰς ὑμῶν, ἐν πᾶσι τοῖς ἑρπετοῖς τοῖς κινου-
μένοις t) ἐπὶ τῆς γῆς, 44 ὅτι ἐγώ εἰμι κύριος
ὁ ἀναγαγὼν ὑμᾶς ἐκ γῆς Αἰγύπτου εἶναι ὑμῶν
θεὸς, καὶ ἔσεσθε ἅγιοι, ὅτι ἅγιός εἰμι ἐγώ·
45 Οὗτος ὁ νόμος ὁ περὶ τῶν κτηνῶν, καὶ τῶν πε-
τεινῶν, καὶ πάσης ψυχῆς τῆς κινουμένης ἐν τῷ
ὕδατι, καὶ πάσης ψυχῆς ἑρπούσης ἐπὶ τῆς γῆς,
46 διαστεῖλαι u) ἀναμέσον τῶν ἀκαθάρτων, καὶ
ἀναμέσον τῶν καθαρῶν, καὶ συμβιβάζειν τοὺς
υἱοὺς Ἰσραὴλ ἀναμέσον τῶν ζωογονούντων x) τὰ
ἐσθιόμενα, καὶ ἀναμέσον τῶν ζωογονούντων τὰ μὴ
ἐσθιόμενα· XII. 1 καὶ ἐλάλησεν κύριος πρὸς
Μωϋσῆν λέγων· 2 λάλησον τοῖς υἱοῖς Ἰσραὴλ Δ
καὶ ἐρεῖς πρὸς αὐτοὺς λέγων· γυνὴ ἥτις ἐὰν ΙΘ
σπερματισθῇ καὶ τέκῃ y) ἄρσεν, καὶ ἀκάθαρ-
τος ἔσται ἑπτὰ ἡμέρας, κατὰ τὰς ἡμέρας τοῦ
χωρισμοῦ τῆς ἀφέδρου z) αὐτῆς, ἀκάθαρτος ἔσται·
3 καὶ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ περιτεμεῖ a) τὴν σάρ-
κα τῆς ἀκροβυστίας αὐτοῦ· 4 καὶ τριάκοντα ἡμέ-
ρας καὶ τρεῖς, καθεσθήσεται ἐν αἵματι ἀκαθάρ-
τῳ z) αὐτῆς, παντὸς ἁγίου οὐκ ἅψεται, καὶ εἰς τὸ
ἁγιαστήριον οὐκ εἰσελεύσεται, ἕως ἂν πληρωθῶ-
σιν αἱ ἡμέραι καθάρσεως αὐτῆς· 5 ἐὰν δὲ
θῆλυ

ΙΘ ΠΕΡΙ ΤΗΣ ΤΙΚΤΟΥΣΗΣ ΝΟΜΟΣ.

t) ἕρπουσιν. u) ἀφορίσαι.

x) ζώων
τῶν ζώων τῶν βιβρωσκομένων.

y) εἰκὸς, ἵνα μὴ ἀκάθαρτος ἔσται ἡ Μαρία, πρόσκειται τοῦ τέκῃ ἄρσεν τὸ σπερματισθῇ· οὐ γὰρ ἐσπερματίσθη ἡ Μαρία.

z) ΑΚ. ΣΥ. ΘΕ. καθάρσεως καθαρισμόν.

a) ζητήσεις, εἰ ἡ τεκοῦσα γυνὴ περιτεμεῖ.

θῆλυ τέκῃ, καὶ ἀκάθαρτος ἔσται δὶς ἑπτὰ ἡμέρας
κατὰ τὴν ἄφεδρον αὐτῆς, καὶ ἑξήκοντα ἡμέρας
καὶ ἓξ καθεσθήσεται ἐν αἵματι ἀκαθάρτῳ αὐ-
*48 τῆς· [6] καὶ ὅτ' ἀνα*πληρωθῶσιν b) αἱ ἡμέραι
καθάρσεως αὐτῆς ἐφ' υἱῷ ἢ ἐπὶ θυγατρὶ, προσ-
οίσει ἀμνὸν ἐνιαύσιον ἄμωμον εἰς ὁλοκαύτωμα,
καὶ νεοσσὸν c) περιστερᾶς, ἢ τρυγόνα περὶ ἁμαρ-
τίας d) ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυ-
ρίου πρὸς τὸν ἱερέα, [7] καὶ προσοίσει αὐτὸν ἔναν-
τι κυρίου καὶ ἐξιλάσεται e) περὶ αὐτῆς ὁ ἱερεὺς,
καὶ καθαριεῖ αὐτὴν ἀπὸ τῆς πηγῆς τοῦ αἵμα-
τος αὐτῆς· οὗτος ὁ νόμος τῆς τικτούσης ἄρ-
σεν ἢ θῆλυ: [8] ἐὰν δὲ μὴ εὑρίσκῃ ἡ χεὶρ αὐτῆς
τὸ ἱκανὸν εἰς ἀμνὸν, καὶ λήψεται δύο τρυγό-
νας f), ἢ δύο νεοσσοὺς περιστερῶν, μίαν εἰς ὁλο-
καύτωμα, καὶ μίαν περὶ ἁμαρτίας, καὶ ἐξι-
K λάσεται περὶ αὐτῆς ὁ ἱερεὺς, καὶ καθαρισθήσεται·
ΛΑ XIII. [1] Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν καὶ Ἀα-
ρὼν λέγων· [2] ἀνθρώπῳ ἐὰν τινι γένηται ἐν δέρ-
ματι χρωτὸς αὐτοῦ οὐλὴ g) σημασίας ἢ τηλαυ-
γὴς h), καὶ γένηται ἐν δέρματι χρωτὸς αὐτοῦ
ἀφὴ

K ΝΟΜΟС ΠΕΡῚ ΛΕΠΡΩΝ.

b) μήποτε ὡς πρὸ τοῦ Ἀβραὰμ οὐ περιετέμνοντο· οὐ γὰρ δέδοτο νόμος περιτομῆς, οὐδὲ οἷόν τε ἦν φύσει πρὸ τοῦ νόμου τοῦτο ποιεῖν, οὐδὲ πρὸ τοῦ ταῦτα λεχθῆναι φέρ' εἰπεῖν, ἀκάθαρτος ἡ Cάῤῥα ἐπὶ τῇ γενέσει τοῦ Ἰσαὰκ ἦν, οὐδὲ ἄλλη τις, ἐφ' υἱῷ, ἢ θυγατρί.

c) υἱόν. d) εἰς ἱλασμόν.

e) ἐξιλάσεται περὶ αὐτῆς.

f) τοῦτο παραθετέον, τῷ ἐν τῷ κατὰ Λουκᾶν, τοῦ δοῦναι θυσίαν κατὰ τὸ εἰρημένον ἐν νόμῳ κυρίου, ζεῦγος τρυγόνων ἢ δύο νεοσσοὺς περιστερῶν, ὅτι οὐδὲ ἀμνὸν ἐνιαύσιον ἄμωμον εἰς ὁλοκαύτωμα εἶχεν ἡ Μαρία, διὰ τὴν πενίαν.

g) λεπίς. h) ἢ αὔγασμα.

ἀφὴ λέπρας, καὶ ἐλεύσεται πρὸς Ἀαρὼν τὸν
ἱερέα, ἢ ἕνα τῶν υἱῶν αὐτοῦ τῶν ἱερέων, 3 καὶ
ὄψεται ὁ ἱερεὺς τὴν ἀφὴν ἐν δέρματι τοῦ χρω-
τὸς αὐτοῦ· καὶ ἡ θρὶξ ἐν τῇ ἀφῇ μεταβάλῃ
λευκὴν, καὶ ἡ ὄψις τῆς ἀφῆς ταπεινὴ i) ἀπὸ
τοῦ δέρματος τοῦ χρωτὸς αὐτοῦ ἀφὴ λέπρας ἐστίν·
καὶ ὄψεται ὁ ἱερεὺς καὶ μιανεῖ αὐτόν· 4 ἐὰν
δὲ τηλαυγὴς k) λευκὴ ᾖ, ἐν τῷ δέρματι τοῦ
χρωτὸς αὐτοῦ, καὶ ταπεινὴ μὴ ᾖ ἡ ὄψις αὐτῆς
ἀπὸ τοῦ δέρματος, καὶ ἡ θρὶξ αὐτοῦ οὐ μετέβα-
λεν τρίχα λευκὴν, αὕτη δέ ἐστιν ἀμαυρὰ καὶ
ἀφοριεῖ ὁ ἱερεὺς τὴν ἀφὴν ἑπτὰ ἡμέρας, 5 καὶ
ὄψεται ὁ ἱερεὺς τὴν ἀφὴν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ,
καὶ ἰδοὺ ἡ ἀφὴ μένει ἐναντίον αὐτοῦ, οὐ μετέπε-
σεν ἡ ἀφὴ ἐν τῷ δέρματι, καὶ ἀφοριεῖ l) αὐ-
τὸν ὁ ἱερεὺς ἑπτὰ ἡμέρας τὸ δεύτερον· 6 καὶ
ὄψεται αὐτὸν ὁ ἱερεὺς τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ τὸ
δεύτερον, καὶ ἰδοὺ ἀμαυρὰ ἡ ἀφὴ οὐ μετέπε-
σεν m) ἡ ἀφὴ ἐν τῷ δέρματι, καὶ καθαριεῖ
αὐτὸν ὁ ἱερεὺς σημασία n) γάρ ἐστιν, καὶ πλυ-
νά*μενος τὰ ἱμάτια αὐτοῦ, καθαρὸς ἔσται· *49
7 Ἐὰν δὲ μεταβαλοῦσα o) μεταπέσῃ ἡ σημασία
ἐν τῷ δέρματι, μετὰ τὸ ἰδεῖν αὐτὸν τὸν ἱερέα
τοῦ καθαρίσαι αὐτὸν, καὶ ὀφθήσεται τὸ δεύτε-
ρον τῷ ἱερεῖ, 8 καὶ ὄψεται αὐτὸν ὁ ἱερεὺς καὶ



i) AK. ΘE. κοιλή. ΣΥ. βαθύτερον.
k) AK. καὶ οἱ Λ. αὔγασμα λευκόν.
l) ΘE. συγκλίσει.
m) ΘE. διακέχυται.
οὐ μετέβαλεν.
n) ΘE. μασφαλε. AK. ἐξανάδοσις. ΣΥ. ἔκβρασμα.
o) AK. ἐπιδόσει ἐπιδῷ. ΣΥ. τὸ ἔκφυμα.
πλατύνουσα πλατυνθῇ ἡ λεπίς.

ἰδὲ μετέπεσεν p) ἡ σημασία ἐν τῷ δέρματι,
καὶ μιανεῖ αὐτὸν ὁ ἱερεὺς, λέπρα ἐςίν: 9 καὶ
ἀφὴ λέπρας, ἐὰν γένηται ἐν ἀνθρώπῳ, καὶ ἐλεύ-
σεται πρὸς τὸν ἱερέα, 10 καὶ ὄψεται ὁ ἱερεὺς, καὶ
ἰδὲ ἐλὴ q) λευκὴ ἐν τῷ δέρματι, καὶ αὕτη μετ-
έβαλε τρίχα λευκὴν, καὶ r) ἀπὸ τε̃ ὑγιε̃ς τῆς
σαρκὸς τῆς ζώσης ἐν τῇ ἐλῇ, 11 λέπρα παλαιε-
μένη ἐςιν, ἐν τῷ δέρματι τε̃ χρωτὸς αὐτε̃ ἐςίν·
καὶ μιανεῖ αὐτὸν ὁ ἱερεὺς καὶ ἀφοριεῖ s) αὐτὸν,
ὅτι ἀκάθαρτος ἔςαι·
12 Ἐὰν δὲ ἐξανθε̃σα ἐξανθήσῃ ἡ λέπρα ἐν τῷ δέρματι,
καὶ λύψει ἡ λέπρα πὰν τὸ δέρμα τῆς ἀφῆς, ἀπὸ
κεφαλῆς ἕως ποδῶν αὐτε̃ καθ᾽ ὅλην τὴν ὅρασιν
τε̃ ἱερέως, 13 καὶ ὄψεται ὁ ἱερεὺς, καὶ ἰδὲ ἐκάλυ-
ψεν t) ἡ λέπρα πὰν τὸ δέρμα τε̃ χρωτὸς αὐτε̃,
καὶ καθαριεῖ αὐτε̃ ὁ ἱερεὺς τὴν ἀφὴν, ὅτι πὰν
μετέβαλεν u) λευκὸν καθαρόν ἐςιν· 14 καὶ ᾗ
ἂν ἡμέρᾳ ὀφθῇ ἐν αὐτῷ χρῶς ζῶν μιανθήσεται,
15 καὶ ὄψεται ὁ ἱερεὺς τὸν χρῶτα τὸν ὑγιῆ, καὶ
μιανεῖ αὐτὸν ὁ χρὼς ὁ ὑγιὴς, ὅτι ἀκάθαρτός
ἐςιν· λέπρα ἐςίν· 16 ἐὰν δὲ ἀποκαταςῇ ὁ χρὼς
ὁ ὑγιὴς, καὶ μεταβάλῃ λευκὸν, καὶ ἐλεύσεται
πρὸς τὸν ἱερέα, 17 καὶ ὄψεται ὁ ἱερεὺς, καὶ ἰδὲ
μετέβαλεν ἡ ἀφὴ εἰς τὸ λευκὸν, καὶ καθαριεῖ ὁ
ἱερεὺς τὴν ἀφὴν, καὶ καθαρός ἐςιν· 18 καὶ σὰρξ
ἐὰν γένηται ἐν τῷ δέρματι αὐτε̃ ἕλκος x), καὶ
ὑγιασθῇ

p) AK. ἐπέδωκεν. CΥ. ὑπερέβη. ΘΕ. διακέχυται.
q) σήθ'. r) ὡς ὁμοίωμα σαρκὸς ζώσης.
s) AK. ἐκ ἀποκλίσει. CΥ. ἐκ ὑπερτεθήσεται.
t) CΥ. ἔκλαμπρον.
u) AK. ἔςρεψεν. CΥ. μετεχρώσθη.
x) AK. ἐξανάδοσις. CΥ. ἔκβρασμα.

ὑγιασθῇ [19] καὶ γένηται ἐν τῷ τόπῳ τοῦ ἕλκους, οὐλὴ
λευκὴ, ἢ τηλαυγὴς λευκαίνουσα, ἢ πυῤῥίζουσα,
καὶ ὀφθήσεται τῷ ἱερεῖ, [20] καὶ ὄψεται ὁ ἱερεὺς, * *50
καὶ ἰδοὺ ἡ ὄψις ταπεινοτέρα y) τοῦ δέρματος, καὶ
ἡ θρὶξ αὐτῆς μετέβαλεν εἰς λευκὴν, καὶ μιανεῖ
αὐτὸν ὁ ἱερεὺς ἁφὴ λέπρας ἐστίν· ἐν τῷ ἕλκει
ἐξήνθησεν· [21] ἐὰν δὲ ἴδῃ ὁ ἱερεὺς καὶ ἰδοὺ οὐκ ἔστιν
ἐν αὐτῷ θρὶξ λευκὴ, καὶ ταπεινὸν μὴ ᾖ ἀπὸ τοῦ
δέρματος τοῦ χρωτὸς, καὶ αὐτὴ ἡ ἀμαυρὰ, καὶ
ἀφοριεῖ z) αὐτὸν ὁ ἱερεὺς ἑπτὰ ἡμέρας· [22] ἐὰν
δὲ διαχύσει a) διαχέηται ἐν τῷ δέρματι, καὶ
μιανεῖ αὐτὸν ὁ ἱερεὺς ἁφὴ λέπρας ἐστιν, ἐν τῷ ἕλ-
κει b) ἐξήνθησεν: [23] ἐὰν δὲ καταχώραν c) αὐ-
τοῦ μείνῃ τὸ τηλαύγημα, καὶ μὴ διαχέηται οὐλὴ
τοῦ ἕλκους ἐστὶν, καὶ καθαριεῖ αὐτὸν ὁ ἱερεὺς, [24] καὶ
σὰρξ d) ἐὰν γένηται ἐν τῷ δέρματι αὐτοῦ κατά-
καυμα πυρὸς καὶ γένηται ἐν τῷ δέρματι αὐτοῦ τὸ
ὑγιασθὲν τοῦ κατακαύματος, αὐγάζον τηλαυγὸς
λευκὸν πυῤῥίζον ἢ ἔκλευκον· [25] καὶ ὄψεται αὐ-
τὸν ὁ ἱερεὺς, καὶ ἰδοὺ μετέβαλεν τρίχα λευκὴν εἰς
τὸ αὐγάζον, καὶ ἡ ὄψις αὐτοῦ ταπεινὴ ἀπὸ τοῦ
δέρματος, λέπρας ἐστὶν ἐν τῷ κατακαύματι ἐξήν-
θησεν· καὶ μιανεῖ αὐτὸν ὁ ἱερεὺς ἁφὴ λέπρας
ἐστίν· [26] ἐὰν δὲ ἴδῃ αὐτὸν ὁ ἱερεὺς καὶ ἰδοὺ οὐκ
ἔστιν ἐν τῷ αὐγάζοντι e) θρὶξ λευκὴ, καὶ τα-
πεινὸν μὴ ᾖ ἀπὸ τοῦ δέρματος, αὐτὸ δὲ ἀμαυρὸν,
καὶ ἀφοριεῖ f) αὐτὸν ὁ ἱερεὺς ἑπτὰ ἡμέρας,

 [27] καὶ

y) κοιλοτέρα. z) χωρίσει.
a) πλατύνουσα πλατυνθῇ. b) δέρματι.
c) ἐν τόπῳ. d) ἐν δέρματι σαρκὸς ἐὰν γένηται.
e) CΥ. τῇ ἐκλάμψει.
f) CΥ. στηρίσει. ΘΣ. συγκλίσει.

27 καὶ ὄψεται αὐτὸν ὁ ἱερεὺς ἐν τῇ ἡμέρᾳ τῇ
ἑβδόμῃ· ἐὰν δὲ διαχύσει διαχέηται ἐν τῷ
δέρματι, καὶ μιανεῖ αὐτὸν ὁ ἱερεὺς ἀφὴ λέπρας
ἐστὶν ἐν τῷ ἕλκει ἐξήνθησεν· 28 ἐὰν δὲ κατα-
χώραν g) μείνῃ τὸ αὐγάζον h), καὶ μὴ δια-
χυθῇ ἐν τῷ δέρματι, αὕτη δὲ ἡ ἀμαυρὰ ᾖ, οὐλὴ
τοῦ κατακαύματος ἐστίν· καὶ καθαριεῖ αὐτὸν ὁ
ἱερεὺς, ὁ γὰρ χαρακτὴρ τοῦ κατακαύματος ἐστίν,
29 καὶ ἀνδρὶ i) ἢ γυναικὶ, ᾧ ἐὰν γένηται ἐν αὐ-
*51 τοῖς ἀφὴ λέπρας * ἐν τῇ κεφαλῇ, ἢ ἐν τῷ πώ-
γωνι· 30 καὶ ὄψεται ὁ ἱερεὺς τὴν ἀφὴν, καὶ ἰδοὺ
ἡ ὄψις αὐτῆς κοιλοτέρα k) τοῦ δέρματος· ἐν
αὐτῇ δὲ θρὶξ ξανθίζουσα λεπτή· l) καὶ μια-
νεῖ αὐτὸν ὁ ἱερεὺς, θραῦσμα m) ἐστὶν, λέπρα
τῆς κεφαλῆς, ἢ λέπρα τοῦ πώγωνος ἐστίν· 31 καὶ
ἐὰν ἴδῃ ὁ ἱερεὺς τὴν ἀφὴν τοῦ θραύσματος, καὶ
ἰδοὺ οὐχὶ ἡ ὄψις ἐγκοιλοτέρα τοῦ δέρματος, καὶ
θρὶξ ξανθίζουσα οὐκ ἔστιν ἐν αὐτῇ, καὶ ἀφοριεῖ
ὁ ἱερεὺς τὴν ἀφὴν τοῦ θραύσματος ἑπτὰ ἡμέ-
ρας· 32 καὶ ὄψεται ὁ ἱερεὺς τὴν ἀφὴν τῇ ἡμέ-
ρᾳ τῇ ἑβδόμῃ, καὶ ἰδοὺ οὐ διεχύθη τὸ θραῦσμα,
καὶ θρὶξ ξανθίζουσα οὐκ ἔστιν ἐν αὐτῇ· καὶ ἡ
ὄψις τοῦ θραύσματος οὐκ ἔστιν κοίλη ἀπὸ τοῦ δέρ-
ματος, 33 καὶ ξυρηθήσεται τὸ δέρμα, τὸ δὲ
θραῦσμα n) οὐ ξυρηθήσεται· καὶ ἀφοριεῖ ὁ
ἱερεὺς τὸ θραῦσμα ἑπτὰ ἡμέρας τὸ δεύτε-
ρον· 34 καὶ ὄψεται ὁ ἱερεὺς τὸ θραῦσμα
τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, καὶ ἰδοὺ οὐ διεχύθη τὸ
θραῦσμα

g) ἐν τόπῳ αὐτοῦ.
h) ΘΕ. τηλαύγημα.
i) ἀνὴρ ἢ γυνή.
k) βαθυτέρα.
l) λευκή.
m) ΑΚ. ἀπόσπασμα.
n) τὸ πέριξ.

θραῦσμα ἐν τῷ δέρματι, μετὰ τὸ ξυρηθῆναι
αὐτὸν, καὶ ἡ ὄψις τοῦ θραύσματος, οὐκ ἔστιν κοί-
λη ἀπὸ τοῦ δέρματος· καὶ καθαριεῖ αὐτὸν ὁ
ἱερεὺς, καὶ πλυνάμενος τὰ ἱμάτια, καθαρὸς
ἔσται· 35 ἐὰν δὲ διαχύσει διαχέηται τὸ θραῦ-
σμα ἐν τῷ δέρματι, μετὰ τὸ καθαρισθῆναι αὐ-
τὸν, 36 καὶ ὄψεται αὐτὸν ὁ ἱερεὺς, καὶ ἰδοὺ δια-
κέχυται τὸ θραῦσμα ἐν τῷ δέρματι, οὐκ ἐπισκέ-
ψεται o) ὁ ἱερεὺς περὶ τῆς τριχὸς τῆς ἐξανθι-
ζούσης, ὅτι ἀκάθαρτός ἐστιν· 37 ἐὰν δὲ ἐνώπιον
αὐτοῦ μείνῃ τὸ θραῦσμα ἐπὶ χώρας, καὶ θρὶξ
μέλαινα ἀνατείλῃ ἐν αὐτῷ, ὑγίακεν τὸ θραῦ-
σμα, καθαρός ἐστιν· καὶ καθαριεῖ αὐτὸν ὁ ἱε-
ρεὺς, 38 καὶ ἀνδρὶ, ἢ γυναικὶ, ᾧ ἐὰν γένηται
ἐν δέρματι τῆς σαρκὸς p) αὐτοῦ αὐγάσματα,
αὐγάζοντα, λευ*κανθίζοντα, 39 καὶ ὄψεται ὁ ἱε- *52
ρεὺς καὶ ἰδοὺ ἐν δέρματι τῆς σαρκὸς αὐτοῦ, αὐ-
γάσματα αὐγάζοντα, λευκανθίζοντα, ἀλφὸς
ἐστιν, ἐξανθεῖ ἐν τῷ δέρματι τῆς σαρκὸς αὐτοῦ,
καθαρός ἐστιν· 40 ἐὰν δέ τινι μαδήσῃ ἡ κεφαλὴ
αὐτοῦ, φαλακρός ἐστιν, καθαρός ἐστιν· 41 ἐὰν δὲ
κατὰ πρόσωπον μαδήσῃ ἡ κεφαλὴ αὐτοῦ, ἀνα-
φάλανδός ἐστιν, καθαρός ἐστιν· 42 ἐὰν δὲ
γένηται ἐν τῷ φαλακρώματι αὐτοῦ, ἢ ἐν τῷ
ἀναφαλανδώματι αὐτοῦ, ἁφὴ λευκὴ, ἢ πυῤῥίζου-
σα, λέπρα ἐξανθίζουσα ἐστὶν, ἐν τῷ φαλακρώ-
ματι αὐτοῦ, ἢ ἐν τῷ ἀναφαλανδώματι αὐτοῦ·
43 καὶ ὄψεται αὐτὸν ὁ ἱερεὺς καὶ ἰδοὺ ἡ ὄψις τῆς
ἁφῆς λευκὴ ἢ πυῤῥίζουσα, ἐν τῷ φαλακρώματι
αὐτοῦ, ἢ ἐν τῷ ἀναφαλανδώματι αὐτοῦ, ὡς εἶδος
λέπρας ἐν δέρματι τῆς σαρκὸς αὐτοῦ, 44 ἄνθρωπος



o) AK. ζητήσει. p) τοῦ χρωτός.

λεπρός ἐστιν, μιάνσει μιανεῖ αὐτὸν ὁ ἱερεὺς, ἐν
τῇ κεφαλῇ αὐτοῦ ἡ ἀφὴ αὐτοῦ· [45] καὶ ὁ λεπρὸς
ἐν ᾧ ἐστιν ἡ ἀφὴ, τὰ ἱμάτια αὐτοῦ, ἔσται παρα-
λελυμένα, καὶ ἡ κεφαλὴ αὐτοῦ ἀκατακάλυπτος·
καὶ περὶ τὸ στόμα αὐτοῦ περιβαλέσθω, καὶ ἀκά-
θαρτος, ἀκάθαρτος κεκλήσεται, [46] πάσας
τὰς ἡμέρας ὅσας ἐὰν ᾖ ἐπ' αὐτῷ ἡ
ἀφὴ, ἀκάθαρτος ὢν, ἀκάθαρτος ἔσται,
κατὰμόνας οἰκήσει κεχωρισμένος καθέσεται,
ἔξω τῆς παρεμβολῆς ἔσται αὐτοῦ ἡ διατριβή·
[47] καὶ ἱματίῳ ἐὰν γένηται ἐν αὐτῷ ἀφὴ λέπρας
ἐν ἱματίῳ ἐρεῷ, ἢ ἐν ἱματίῳ στυππυΐνῳ q),
[48] ἢ ἐν στήμονι, ἢ ἐν κρόκῃ ἢ ἐν τοῖς λινοῖς, ἢ
ἐν τοῖς ἐρεοῖς, ἢ ἐν δέρματι, ἢ ἐν παντὶ ἐργα-
σίμῳ δέρματι, [49] καὶ γένηται ἡ ἀφὴ χλωρίζου-
σα, ἢ πυῤῥίζουσα ἐν τῷ δέρματι, ἢ ἐν τῷ ἱμα-
τίῳ, ἢ ἐν τῷ στήμονι, ἢ ἐν τῇ κρόκῃ, ἢ ἐν παν-
τὶ σκεύει ἐργασίμῳ δέρματος, ἀφὴ λέπρας ἐστὶν,
καὶ δείξει τῷ ἱερεῖ, [50] καὶ ὄψεται ὁ ἱερεὺς τὴν
ἀφὴν, καὶ ἀφοριεῖ ὁ ἱερεὺς τὴν ἀφὴν ἑπτὰ ἡμέ-
ρας: [51] καὶ ὄψεται ὁ ἱερεὺς τὴν ἀφὴν τῇ ἡμέρᾳ
τῇ ἑβδόμῃ, ἐὰν δὲ διαχέηται ἡ ἀφὴ r) ἐν τῷ
*53 ἱματίῳ, ἢ ἐν * τῷ στήμονι, ἢ ἐν τῇ κρόκῃ, ἢ ἐν
τῷ δέρματι, κατὰ πάντα ὅσα ἂν ποιηθῇ δέρ-
ματα ἐν τῇ ἐργασίᾳ, λέπρα σπανίζουσα ἔμμο-
νός ἐστιν ἡ ἀφὴ, ἀκάθαρτός ἐστιν· [52] κατακαύσει
τὸ ἱμάτιον, ἢ τὸν στήμονα, ἢ τὴν κρόκην, ἢ ἐν
τοῖς ἐρεοῖς, ἢ ἐν τοῖς λινοῖς, ἢ ἐν παντὶ σκεύει
δερματίνῳ, ἐν ᾧ ἂν ᾖ ἐν αὐτῷ ἡ ἀφὴ, ὅτι λέπρα
ἔμμονός ἐστιν, ἐν πυρὶ κατακαυθήσεται· [53] ἐὰν
δὲ ἴδῃ ὁ ἱερεὺς καὶ μὴ διαχέηται ἡ ἀφὴ ἐν τῷ
ἱματίῳ,

q) λινῷ. r) πληγή.

ἱματίῳ, ἢ ἐν τῷ στήμονι, ἢ ἐν τῇ κρόκῃ, ἢ ἐν
παντὶ σκεύει δερματίνῳ, 54 καὶ προστάξει ὁ ἱε-
ρεὺς καὶ πλυνεῖ ἐφ' οὗ ἂν ᾖ ἐπ' αὐτῷ ἡ ἀφὴ, καὶ
ἀφοριεῖ ὁ ἱερεὺς τὴν ἀφὴν ἑπτὰ ἡμέρας τὸ δεύτε-
ρον:. 55 καὶ ὄψεται ὁ ἱερεὺς μετὰ τὸ πλυθῆναι τὴν
ἀφὴν, καὶ ἣ δὲ μὴ μεταβάλῃ τὴν ὄψιν ἡ ἀφὴ,
καὶ ἡ ἀφὴ οὐ διαχεῖται, ἀκάθαρτόν ἐστιν, ἐν πυρὶ
κατακαυθήσεται, ἐστήρικται ἐν τῷ ἱματίῳ, ἢ ἐν
τῷ στήμονι, ἢ ἐν τῇ κρόκῃ: 56 καὶ ἐὰν ἴδῃ ὁ ἱερεὺς,
καὶ ᾖ ἀμαυρὰ, ἡ ἀφὴ μετὰ τὸ πλυθῆναι αὐτὸ,
καὶ ἀποῤῥήξει αὐτὸ ἀπὸ τοῦ ἱματίου, ἢ ἀπὸ τοῦ
στήμονος, ἢ ἀπὸ τῆς κρόκης, ἢ ἀπὸ τοῦ δέρ-
ματος· 57 ἐὰν δὲ ὀφθῇ ἔτι ἐν τῷ ἱματίῳ, ἢ
ἐν τῷ στήμονι, ἢ ἐν τῇ κρόκῃ, ἢ ἐν παντὶ σκεύει
δερματίνῳ, λέπρα ἐξανθοῦσα ἐστιν, ἐν πυρὶ κατα-
καυθήσεται, ἐν ᾧ ἐστιν ἡ ἀφὴ 58 καὶ τὸ ἱμάτιον,
ἢ ὁ στήμων, ἢ ἡ κρόκη, ἢ πᾶν σκεῦος δερμάτινον
ὃ πλυθήσεται καὶ ἀποστήσεται ἀπ' αὐτοῦ ἡ ἀφὴ,
καὶ πλυθήσεται τὸ δεύτερον, καὶ καθαρὸν ἔ-
σται· 59 οὗτος ὁ νόμος ἀφῆς λέπρας ἱματίου ἐρεοῦ, ἢ
στυππυΐνου, ἢ στήμονος, ἢ κρόκης, ἢ παντὸς σκεύους
δερματίνου, εἰς τὸ καθαρίσαι αὐτὸ, ἢ μιᾶναι
αὐτό·
XIIII. 1 καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν λέγων· ΚΑ
2 οὗτος ὁ νόμος τοῦ λεπροῦ s), ᾗ ἂν ἡμέρᾳ καθαρι- ΛΒ
σθῇ, καὶ προσαχθήσεται πρὸς τὸν ἱερέα, 3 καὶ
ἐξελεύσεται t) ὁ ἱερεὺς ἔξω τῆς παρεμβολῆς, καὶ
ὄψεται ὁ ἱερεὺς καὶ ἰδοὺ ἰᾶται ἡ ἀφὴ τῆς λέπρας



ΚΑ ΠΕΡΙ ΤΟΥ ΚΑΘΑΡΙΣΜΟΥ ΤΟΥ ΛΕΠΡΟΥ.

s) ὁ καθαρισθεὶς ἀπὸ τῆς λέπρας ὁρᾷ μεθ' ὅσα καθαρὸς πρῶτον ἔσται, εἶτα δεύτερον, εἶτα τρίτον.

t) ἐπὶ τοῦ δευτέρου ἔξω τῆς παρεμβολῆς.

ἀπὸ τȣ̃ λεπρȣ̃· [4] καὶ *) προστάξει u) ὁ ἱερεὺς
καὶ λήψονται τῷ κεκαθαρισμένῳ, δύο ὀρνίθια x)
ζῶντα καθαρὰ, καὶ ξύλον κέδρινον y) καὶ κε-
κλωσμένον κόκκινον, καὶ ὕσσωπον· z) [5] καὶ
προστάξει ὁ ἱερεὺς καὶ σφάξȣσιν τὸ ὀρνίθιον a)
*54 τὸ ἓν, εἰς ἀγγεῖον ὀστρά*κινον ἐφ᾽ ὕδατι ζῶντι,
[6] καὶ τὸ ὀρνίθιον τὸ ζῶν λήψεται αὐτὸ, καὶ τὸ
ξύλον τὸ κέδρινον, καὶ τὸ κλωστὸν κόκκινον, καὶ
τὴν ὕσσωπον· καὶ βάψει αὐτὰ, καὶ τὸ ὀρνί-
θιον τὸ ζῶν, εἰς τὸ αἷμα τȣ̃ ὀρνιθίȣ τȣ̃ σφαγέν-
τος, ἐφ᾽ ὕδατι ζῶντι· [7] καὶ περιῤῥανεῖ b) ἐπὶ
τὸν

*) ὅτι ȣ̓κ αὐτὸς λαμβάνει τῷ κεκαθαρισμένῳ τὰ δύο ὀρνίθια, ἀλλὰ προστάσσει.

u) ὅτι ȣ̓κ᾽ αὐτὸς ὁ ἱερεὺς σφάζει τὸ ὀρνίθιον, ἀλλὰ προστάσσει αὐτὸ σφαγῆναι· νῦν μὲν, ἵνα τὸ τρίτον καθαρὸς γένηται, πρῶτον πλύνει τὰ ἱμάτια αὐτȣ̃, εἶτα ξύρεται πᾶσαν τὴν τρίχα, εἶτα λȣ́εται ἐν ὕδατι· ἑξῆς δὲ ἵνα τὸ τέταρτον καθαρὸς γένηται· ἤδη μὲν εἰς τὴν παρεμβολὴν εἰσελθὼν, ἔτι δὲ διατρίβων ἔξω τȣ̃ οἴκȣ ἑαυτȣ̃ ἑπτὰ ἡμέρας, τῇ ἑβδόμῃ ἡμέρᾳ ξύρεται πᾶσα ἡ τρίχα αὐτȣ̃, κεφαλὴν, πώγωνα, ὀφρῦς, καὶ πᾶσαν τρίχα αὐτȣ̃, εἶτα πλύνει τὰ ἱμάτια αὐτȣ̃, εἶτα λȣ́εται τὸ σῶμα αὐτȣ̃ ὕδατι, καὶ ȣ̔́τως τέταρτον καθαρὸς γίνεται· τήρει ȣ̓̃ν, ὅτι ἀνωτέρω μὲν πρῶτον τὰ ἱμάτια πλύνει, εἶτα ξύρεται, ἑξῆς δὲ ἅμα πάλιν, τρίτον δὲ κατ᾽ ἀμφοτέρων.

x) στρȣθία. y) κυπάρισσος.

z) ὄργανον.

a) ὅτι τὸ ζῶν ὀρνίθιον, αὐτὸς ὁ ἱερεὺς λαμβάνει.

b) πρῶτον ἀπὸ τῆς λέπρας καθαρίζεται, εἶτα ὡς ȣ̓δέπω καθαρὸς ἔσαι, περιῤῥανεῖ· εἶτα πάλιν ὡς ȣ̓δέπω καθαρὸς, πλυνεῖ τὰ ἱμάτια ἑαυτȣ̃ καὶ ξύρεται πᾶσαν τρίχα καὶ λȣ́εται καὶ ȣ̔́τως καθαρὸς ἔσαι, ἵνα μετὰταῦτα, εἰσέλθῃ μὲν εἰς τὴν παρεμβολὴν ὡς μηδέπω μὲν τελείως καθαρὸς γενάμενος, ἔξω τῆς οἰκείας ἑαυτȣ̃ μείνῃ ἓξ ἡμέρας· καὶ μεταταῦτα, τῇ ἑβδόμῃ ἡμέρᾳ ξύρεται πᾶσαν τὴν τρίχα, κεφαλὴν, πώγωνα, ὀφρῦς, καὶ πᾶσαν τὴν τρίχα· καὶ πλυνάμενος τὰ ἱμάτια, λȣ́εται τὸ σῶμα ὕδατι καὶ καθαρὸς ἔσαι· εἶτα τῇ ὀγδόῃ ἡμέρᾳ, λαμβάνονται δύο ἀμνοὶ καὶ γίνεται τὰ ἐπ᾽ αὐτοῖς· καὶ ὡς μὴ δέπω
ἐπὶ

τὸν καθαρισθέντα ἀπὸ τῆς λέπρας ἑπτάκις c),
καὶ καθαρὸς ἔσται· καὶ ἐξαποστελεῖ τὸ ὀρνίθιον
τὸ ζῶν εἰς τὸ πεδίον· d) 8 καὶ πλυνεῖ ὁ καθαρι-
σθεὶς τὰ ἱμάτια αὐτοῦ, καὶ ξυρηθήσεται αὐτοῦ
πᾶσαν τὴν τρίχα, καὶ λούσεται e) ἐν ὕδατι καὶ
καθαρὸς ἔσται· καὶ μετὰ ταῦτα εἰσελεύσεται εἰς
τὴν παρεμβολὴν, καὶ διατρίψει ἔξω τοῦ οἴκου αὐ-
τοῦ ἑπτὰ ἡμέρας, 9 καὶ ἔσται τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ,
ξυρήσεται πᾶσαν τὴν τρίχα αὐτοῦ· τὴν κεφα-
λὴν αὐτοῦ καὶ τὸν πώγωνα, καὶ τὰς ὀφρῦς, καὶ
πᾶσαν τὴν τρίχα αὐτοῦ ξυρήσεται, καὶ πλυνεῖ
τὰ ἱμάτια αὐτοῦ, καὶ λούσεται τὸ σῶμα αὐτοῦ
ὕδατι, καὶ καθαρὸς ἔσται· 10 καὶ τῇ ἡμέρᾳ
τῇ ὀγδόῃ f), λήψεται δύο ἀμνοὺς ἀμώμους ἐνιαυ-
σίους, καὶ πρόβατον ἓν, ἄμωμον ἐνιαύσιον, καὶ
τρία δέκατα σεμιδάλεως εἰς θυσίαν πεφυραμένης
ἐν ἐλαίῳ, καὶ κοτύλην g) ἐλαίου μίαν· 11 καὶ
στήσει ὁ ἱερεὺς ὁ καθαρίζων τὸν ἄνθρωπον τὸν κα-
θαριζό-

ἐπὶ τοῖς προτέροις γενόμενος καθαρὸς καθαρισθήσεται· ἅμα δὲ σημειώσῃ ὅτι ἐπὶ τῷ πρώτῳ καὶ τελευταίῳ, εἴρηται τὸ καθαρισθήσεται, ἐπὶ δὲ τοῖς μεταξὺ τρισὶν καθαρὸς ἔσται.

c) ὅτι καθαρισθεὶς ἀπὸ τῆς λέπρας, οὐδέπω καθαρός ἐστιν, ἐὰν μὴ περιῤῥανεῖ ἑπτάκις ἀπὸ τοῦ βαφθέντος ζῶντος ὀρνιθίου, ἐν τῷ αἵματι τοῦ σφαγέντος ἐφ' ὕδατι, ζῶντι ὀρνιθίου· καὶ χρησόμεθα τούτοις, ὅτι οὔτε βίος ἄνευ λουτροῦ, οὔτε λουτρὸν ἄνευ βίου καθαρίζει.

d) ἐπὶ προσώπου τοῦ ἀγροῦ.

e) νῦν μὲν λούεται ὕδατι ἑξῆς δὲ λούεται φησὶν τὸ σῶμα αὐτοῦ ὕδατι.

f) νῦν ὅτε τελείως καθαρίζεται, οὐκέτι προστάσσει ὁ ἱερεὺς ὥσπερ ἐπὶ τῆς λήψεως τῶν ὀρνιθίων, καὶ ἐπὶ τῆς σφαγῆς τοῦ ἑτέρου αὐτῶν, ἀλλὰ καὶ οὐκ ἐξέρχεται ἔξω τῆς παρεμβολῆς ὡς ἐν πρώτοις· στήσας δὲ τὸν καθαριζόμενον ἄνθρωπον, καὶ ταῦτα ἔναντι κυρίου, ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου, αὐτὸς λαμβάνει τὸν ἀμνὸν, καὶ ποιεῖ τὰ ἑξῆς.

g) ξέστην.

θαριζόμενον, καὶ ταῦτα ἔναντι κυρίου, ἐπὶ τὴν
θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου· 12 καὶ λήψεται
ὁ ἱερεὺς τὸν ἀμνὸν τὸν ἕνα, καὶ προσάξει αὐτὸν
τῆς πλημμελείας h), καὶ τὴν κοτύλην τοῦ ἐλαίου,
καὶ ἀφοριεῖ αὐτὰ ὁ ἱερεὺς ἀφόρισμα ἔναντι κυρίου·
13 καὶ σφάξουσιν τὸν ἀμνὸν ἐν τόπῳ οὗ σφάζουσιν
τὰ ὁλοκαυτώματα καὶ τὰ περὶ ἁμαρτίας ἐν τόπῳ
ἁγίῳ· ἔστιν γὰρ τὸ περὶ τῆς ἁμαρτίας, ὥσπερ
τὸ τῆς πλημμελείας ἐστιν τῷ ἱερεῖ, ἅγια ἁγίων
ἐστίν· 14 καὶ λήψεται ὁ ἱερεὺς ἀπὸ τοῦ αἵματος
τοῦ τῆς πλημμελείας i), καὶ ἐπιθήσει ὁ ἱερεὺς
ἐπὶ τὸν λοβὸν τοῦ ὠτὸς τοῦ καθαριζομένου τοῦ δεξιοῦ,
καὶ ἐπὶ τὸ ἄκρον τῆς χειρὸς αὐτοῦ τῆς δεξιᾶς, καὶ
ἐπὶ τὸ ἄκρον τοῦ ποδὸς αὐτοῦ τοῦ δεξιοῦ· 15 καὶ
λαβὼν ὁ ἱερεὺς ἀπὸ τῆς κοτύλης τοῦ ἐλαίου, ἐπι-
χεεῖ ἐπὶ τὴν χεῖρα τοῦ ἱερέως τὴν ἀριστερὰν, 16 καὶ
*55 βάψει ὁ * ἱερεὺς τὸν δάκτυλον αὐτοῦ τὸν δεξιὸν
ἀπὸ τοῦ ἐλαίου τοῦ ὄντος ἐπὶ τῆς χειρὸς αὐτοῦ τῆς
ἀριστερᾶς· καὶ ῥανεῖ ἀπὸ τοῦ ἐλαίου τῷ δακτύλῳ
αὐτοῦ ἑπτάκις ἔναντι κυρίου· 17 τὸ δὲ καταλει-
φθὲν ἔλαιον τὸ ὂν ἐν τῇ χειρὶ αὐτοῦ, ἐπιθήσει ὁ
ἱερεὺς ἐπὶ τὸν λωβὸν τοῦ ὠτὸς τοῦ καθαριζομένου
τοῦ δεξιοῦ, καὶ ἐπὶ τὸ ἄκρον τῆς χειρὸς αὐτοῦ τῆς
δεξιᾶς, καὶ ἐπὶ τὸ ἄκρον τοῦ ποδὸς αὐτοῦ τοῦ δεξιοῦ
ἐπὶ τὸν τόπον τοῦ αἵματος τοῦ τῆς πλημμελείας·
18 τὸ δὲ καταλειφθὲν ἔλαιον τὸ ἐπὶ τῆς χειρὸς τοῦ
ἱερέως, ἐπιθήσει ὁ ἱερεὺς ἐπὶ τὴν κεφαλὴν τοῦ
καθαρισθέντος, καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱε-
ρεὺς ἔναντι κυρίου· 19 καὶ ποιήσει ὁ ἱερεὺς τὸ περὶ
τῆς ἁμαρτίας, καὶ ἐξιλάσεται ὁ ἱερεὺς περὶ τοῦ
καθα-

h) περὶ λυτρώσεως.

i) ἡ πλημμέλεια ὑπέστησεν τὴν λέπραν.

καθαριζομένου, ἀπὸ τῆς ἁμαρτίας αὐτοῦ τοῦ μιά-
σματος· καὶ μετὰ τοῦτο σφάζει ὁ ἱερεὺς τὸ ὁλο-
καύτωμα καὶ τὴν θυσίαν· [20] καὶ ἀνοίσει ὁ ἱε-
ρεὺς τὸ ὁλοκαύτωμα καὶ τὴν θυσίαν, ἐπὶ τὸ θυ-
σιαστήριον ἔναντι κυρίου· καὶ ἐξιλάσεται περὶ αὐ-
τοῦ ὁ ἱερεὺς καὶ καθαρισθήσεται· [21] ἐὰν δὲ
πένηται καὶ ἡ χεὶρ αὐτοῦ μὴ εὑρίσκῃ, λήψεται
ἀμνὸν ἕνα εἰς ὃ ἐπλημμέλησεν k) εἰς ἀφαίρε-
μα l) ὥστε ἐξιλάσασθαι περὶ αὐτοῦ, καὶ δέκα-
τον σεμιδάλεως πεφυραμένης ἐν ἐλαίῳ εἰς θυσίαν·
καὶ κοτύλην ἐλαίου μίαν, [22] καὶ δύο τρυγόνας, ἢ
δύο νεοσσοὺς περιστερῶν, ὅσα ἂν δυνηθῇ εὑρεῖν ἡ
χεὶρ αὐτοῦ· καὶ ἔσται ἡ μία περὶ ἁμαρτίας, καὶ
ἡ μία εἰς ὁλοκαύτωμα, [23] καὶ προσοίσει αὐτὰ
τῇ ἡμέρᾳ τῇ ὀγδόῃ, εἰς τὸ καθαρίσαι αὐτὸν πρὸς
τὸν ἱερέα ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου
ἔναντι κυρίου· [24] καὶ λαβὼν ὁ ἱερεὺς τὸν ἀμνὸν
τὸν τῆς πλημμελείας, καὶ τὴν κοτύλην τοῦ ἐλαίου
ἐπιθήσει m) αὐτὰ ἐπίθεμα n) ἔναντι κυρίου·
[25] καὶ σφάζει τὸν ἀμνὸν τὸν τῆς πλημμελείας,
καὶ λήψεται ὁ ἱερεὺς ἀπὸ τοῦ αἵματος τοῦ τῆς πλημ-
μελείας, καὶ ἐπιθήσει ἐπὶ τὸν λοβὸν τοῦ ὠτὸς τοῦ
καθαριζομένου τοῦ δεξιοῦ, καὶ ἐπὶ τὸ ἄκρον τῆς
χειρὸς αὐτοῦ τῆς δεξιᾶς, καὶ * ἐπὶ τὸ ἄκρον τοῦ *56
ποδὸς αὐτοῦ τοῦ δεξιοῦ· [26] καὶ ἀπὸ τοῦ ἐλαίου ἐπι-
χεεῖ ὁ ἱερεύς, ἐπὶ τὴν χεῖρα τοῦ ἱερέως τὴν ἀριστε-
ράν·

k) τίς ἡ τοῦ λεπροῦ πλημμέλεια, καὶ ὑπὲρ τίνος ἐξιλάσκεται περὶ αὐτοῦ ὁ ἱερεύς· ἡ μὲν γὰρ τοῦ αἰσθητῶς λελεπρόσθαι ἀπεθανον· οὐ γὰρ τῆς ψυχῆς ἁμάρτημα· εἰ δὲ ἀληθῆ λέγει τὸ γραφικὸν, διὰ πλημμελείας καὶ ἡ λέπρα.

l) ἀφόρισμα. m) ἀφοριεῖ.

n) ἀφόρισμα.

ρᾶν· 27 καὶ ῥανεῖ ὁ ἱερεὺς τῷ δακτύλῳ αὐτοῦ τῷ
δεξιῷ ἀπὸ τοῦ ἐλαίου τοῦ ἐν τῇ χειρὶ αὐτοῦ τῇ ἀρι-
στερᾷ, ἑπτάκις ἔναντι κυρίου· 28 καὶ ἐπιθήσει ὁ
ἱερεὺς ἀπὸ τοῦ ἐλαίου τοῦ ἐπὶ τῆς χειρὸς αὐτοῦ ἐπὶ
τὸν λοβὸν τοῦ ὠτὸς τοῦ καθαριζομένου τοῦ δεξιοῦ,
καὶ ἐπὶ τὸ ἄκρον τῆς χειρὸς αὐτοῦ τῆς δεξιᾶς, καὶ
ἐπὶ τὸ ἄκρον τοῦ ποδὸς αὐτοῦ τοῦ δεξιοῦ, ἐπὶ τὸν
τόπον τοῦ αἵματος τοῦ τῆς πλημμελείας· 29 τὸ δὲ
καταλειφθὲν τοῦ ἐλαίου, τὸ ὂν ἐπὶ τῆς χειρὸς τοῦ
ἱερέως, ἐπιθήσει ἐπὶ τὴν κεφαλὴν τοῦ καθαρι-
σθέντος, καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς ἔναντι
κυρίου, 30 καὶ ποιήσει μίαν ἀπὸ τῶν τρυγόνων, ἢ
ἀπὸ τῶν νεοσσῶν τῶν περιστερῶν, καθ᾽ ὅτι εὗρεν
αὐτοῦ ἡ χεὶρ, 31 τὴν μίαν περὶ ἁμαρτίας, καὶ τὴν
μίαν εἰς ὁλοκαύτωμα σὺν τῇ θυσίᾳ· καὶ ἐξι-
λάσεται ὁ ἱερεὺς περὶ τοῦ καθαριζομένου ἔναντι κυ-
ρίου· 32 οὗτος ὁ νόμος ἐν ᾧ ἐστιν ἡ ἁφὴ τῆς λέ-
πρας, o) καὶ τοῦ μὴ εὑρίσκοντος p) τῇ χειρὶ αὐτοῦ εἰς
τὸν καθαρισμὸν αὐτοῦ· 33 καὶ ἐλάλησεν κύριος
ΚΒ πρὸς Μωϋσῆν καὶ Ἀαρὼν λέγων· 34 ὡς ἂν εἰσέλ-
ΛΓ θητε εἰς τὴν γῆν τῶν Χαναναίων, ἣν ἐγὼ δίδωμι
ὑμῖν ἐν κλήρῳ κτήσει, καὶ δώσω ἁφὴν λέπρας ἐν
ταῖς

ΚΒ ΠΕΡΙ ΛΕΠΡΑΣ ΟΙΚΙΑΣ ΚΑΙ ΚΑΘΑΡΙΣΜΟΥ.

o) φασὶν μὴ ἱστορεῖσθαι μηδέπω λέπραν οἰκίας· διόπερ ζητητέον πῶς ἀληθὲς ἔσται, τὸ δώσω ἁφὴν λέπρας ἐν ταῖς οἰκίαις τῆς γῆς τῆς ἐγκτήτου ὑμῖν, μήποτε οὖν ἀλληγορητέον τὸν τόπον· καὶ σημειώσει ὅτι οὐκ εἶπεν κύριος δώσω λέπραν, ἀλλὰ ἁφὴν λέπρας ἵνα μὴ λανθάνῃ ἡ γεναμένη λέπρα, τὸν ἁπτόμενον αὐτῆς.

p) ὡς μὴ πάντων εὑρισκόντων τῇ χειρὶ εἰς τὸν καθαρισμὸν καὶ ποτήριον ψυχροῦ προσέταξεν, καὶ τὰ δύο λεπτὰ ἀπεδέξατο· ἔοικεν γὰρ ταῦτα, μᾶλλον τῇ χειρὶ εὑρίσκεσθαι, εἴπερ τὰ ἐξ ἀδίκου πολλά.

ταῖς οἰκίαις τῆς γῆς τῆς ἐγκτήτου ὑμῖν, 35 καὶ ἥξει
τίνος αὐτοῦ ἡ οἰκία, καὶ ἀναγγελεῖ τῷ ἱερεῖ λέ-
γων· ὥσπερ ἀφὴ ἑόραταί μοι ἐν τῇ οἰκίᾳ, 36 καὶ
προστάξει q) ὁ ἱερεὺς ἀποσκευάσαι τὴν οἰκίαν
πρὸ τοῦ εἰσελθόντα τὸν ἱερέα ἰδεῖν τὴν ἀφήν· καὶ
οὐ μὴ r) ἀκάθαρτα γένηται, ὅσα ἐὰν ᾖ ἐν τῇ
οἰκίᾳ, καὶ μεταταῦτα εἰσελεύσεται ὁ ἱερεὺς κατα-
μαθεῖν τὴν οἰκίαν· 37 καὶ ὄψεται ὁ ἱερεὺς τὴν
ἀφὴν, καὶ ἰδοὺ ἡ ἀφὴ ἐν τοῖς τοίχοις τῆς οἰκίας,
κοιλάδας χλωριζούσας, ἢ πυῤῥίζουσας, καὶ ἡ
ὄψις s) αὐτῶν ταπεινοτέρα t) τῶν τοίχων· 38 καὶ
ἐξελθὼν ὁ ἱερεὺς ἐκ τῆς οἰκίας, ἐπὶ τὴν θύραν τῆς
οἰκίας, καὶ * ἀφοριεῖ u) ὁ ἱερεὺς τὴν οἰκίαν* 57.
ἑπτὰ ἡμέρας· 39 καὶ ἐπανήξει ὁ ἱερεὺς τῇ ἡμέρᾳ
τῇ ἑβδόμῃ, καὶ ὄψεται τὴν οἰκίαν, καὶ ἰδοὺ διε-
χύθη ἡ ἀφὴ ἐν τοῖς τοίχοις τῆς οἰκίας, 40 καὶ
προστάξει ὁ ἱερεὺς καὶ ἐξελοῦσιν τοὺς λίθους ἐν οἷς
ἐστιν ἡ ἀφὴ, καὶ ἐκβαλοῦσιν αὐτοὺς ἔξω τῆς πό-
λεως εἰς τόπον ἀκάθαρτον· 41 καὶ τὴν οἰκίαν
ἔσωθεν κύκλῳ ἀποξύσουσι, καὶ ἐκχέουσιν τὸν χοῦν
τὸν ἀπεξυσμένον ἔξω τῆς πόλεως εἰς τόπον ἀκά-
θαρτον· 42 καὶ λήψονται λίθους ἀπεξυσμέ-
νους ἑτέρους, καὶ ἀντιθήσουσιν ἀντὶ τῶν λίθων,
καὶ χοῦν ἕτερον λήψονται, καὶ ἐξαλείψουσι x)
τὴν οἰκίαν· 43 ἐὰν δὲ ἐπέλθῃ πάλιν ἡ ἀφὴ
καὶ ἀνατείλῃ ἐν τῇ οἰκίᾳ μετὰ τὸ ἐξελθεῖν τοὺς
λίθους, καὶ μετὰ τὸ ἀποξυσθῆναι τὴν οἰκίαν, καὶ
μετὰ

q) καὶ ἐντελεῖται ὁ ἱερεὺς καὶ ἐκφορήσουσι τὰ ἐν τῇ οἰκίᾳ.
r) οὐ μιανθήσεται.
s) ἡ εἰδέα αὐτῶν κοιλοτέρα.
t) δυσειδής.
u) ἀποκλείσει.
x) χρίσουσι.

μετὰ τὸ ἐξαλειφθῆναι· y) 44 καὶ εἰσελεύσεται
ὁ ἱερεὺς καὶ ὄψεται εἰ διακέχυται z) ἡ ἁφὴ ἐν τῇ
οἰκίᾳ, λέπρα ἔμμονός a) ἐστιν ἐν τῇ οἰκίᾳ, ἀκά-
θαρτός ἐστιν· 45 καὶ καθελοῦσιν τὴν οἰκίαν,
καὶ τὰ ξύλα αὐτῆς, καὶ τοὺς λίθους αὐ-
τῆς, καὶ πάντα τὸν χοῦν τῆς οἰκίας, ἐξοί-
σουσιν ἔξω τῆς πόλεως εἰς τόπον ἀκάθαρτον·
46 καὶ b) ὁ εἰσπορευόμενος εἰς τὴν οἰκίαν, πάσας
τὰς ἡμέρας ἃς ἀφωρισμένη ἐστὶν, ἀκάθαρτος
ἔσται ἕως ἑσπέρας· 47 καὶ ὁ κοιμώμενος ἐν τῇ
οἰκίᾳ, πλυνεῖ τὰ ἱμάτια αὐτοῦ καὶ ἀκάθαρτος
ἔσται ἕως ἑσπέρας· καὶ ὁ ἐσθίων ἐν τῇ οἰκίᾳ,
πλυνεῖ τὰ ἱμάτια αὐτοῦ, καὶ ἀκάθαρτος ἔσται
ἕως ἑσπέρας· 48 ἐὰν δὲ παραγενόμενος ὁ ἱερεὺς
εἰσέλθῃ, καὶ ἴδῃ καὶ ἰδοὺ διαχύσει οὐ διαχεῖται
ἡ ἁφὴ ἐν τῇ οἰκίᾳ μετὰ τὸ ἐξαλειφθῆναι τὴν
οἰκίαν, καὶ καθαριεῖ ὁ ἱερεὺς τὴν οἰκίαν, ὅτι
ἰάθη ἡ ἁφή· 49 καὶ λήψεται ἀφαγνίσαι c)
τὴν οἰκίαν δύο ὀρνίθια ζῶντα καθαρὰ, καὶ ξύ-
λον κέδρινον καὶ κεκλωσμένον d) κόκκινον, καὶ
ὕσσωπον, 50 καὶ σφάξει τὸ ὀρνίθιον τὸ ἓν εἰς
σκεῦος ὀστράκινον ἐφ' ὕδατι ζῶντι, 51 καὶ λήψε-
ται τὸ ξύλον τὸ κέδρινον, καὶ τὸ κεκλωσμένον
κόκκι-

y) ἀποχρισθῆναι.
z) σπανίζουσα.
a) φιλόνεικος.
b) ἔχει τάχα λόγον τούτοις ποτὲ χρήσασθαι ἐπὶ τῶν εἰς τὰς αἱρέσεις συναγομένων, ἵν' ᾖ τοῦτο εἰσπορευόμενος εἰς τὴν οἰκίαν ἀκάθαρτος ἔσται, ἢ ἐπὶ τῶν ἐπαναπαυομένων αἱρετικοῖς, ἢ τοῦτο, ὁ κοιμώμενος ἐν τῇ οἰκίᾳ, πλυνεῖ τὰ ἱμάτια καὶ ἀκάθαρτος ἔσται, ἢ ἐπὶ τῶν αἱρετικοῖς στρεφομένων λόγοις· ἵν' ᾖ τοῦτο ὁ ἐσθίων ἐν τῇ οἰκίᾳ, πλυνεῖ τὰ ἱμάτια αὐτοῦ καὶ ἀκάθαρτος ἔσται· ἰσόμεθα δὲ τί τὸ ἕως ἑσπέρας καὶ ὅσα ἀκριβῶς, εἰς τὸν τόπον νοητέον.
c) οἷα περιαμαρτίσαι.
d) ἀλλοιούμενον.

κόκκινον, καὶ τὴν ὕσσωπον, καὶ τὸ ὀρνίθιον τὸ
ζῶν, καὶ βάψει αὐτὰ εἰς τὸ αἷμα τοῦ ὀρνιθίου
τοῦ ἐσφαγμένου ἐφ' ὕδατι ζῶντι· καὶ * πε- *58
ῤῥανεῖ ἐν αὐτοῖς ἐπὶ τὴν οἰκίαν ἑπτάκις· 52 καὶ
ἀφαγνιεῖ τὴν οἰκίαν ἐν τῷ αἵματι τοῦ ὀρνιθίου
τοῦ ἐσφαγμένου, καὶ ἐν τῷ ὕδατι τῷ ζῶντι, καὶ
ἐν τῷ ὀρνιθίῳ τῷ ζῶντι, καὶ ἐν τῷ ξύλῳ τῷ
κεδρίνῳ, καὶ ἐν τῇ ὑσσώπῳ, καὶ ἐν τῷ κεκλωσ-
μένῳ κοκκίνῳ· 53 καὶ ἐξαποστελεῖ τὸ ὀρνίθιον τὸ
ζῶν ἔξω τῆς πόλεως εἰς τὸ πεδίον, καὶ ἐξιλά-
σεται περὶ τῆς οἰκίας, καὶ καθαρὰ ἔσται· 54 οὗτος
ὁ νόμος κατὰ πᾶσαν ἀφὴν λέπρας καὶ θραύ-
σματος, 55 καὶ τῆς λέπρας ἱματίου, καὶ οἰκίας
56 καὶ οὐλῆς e), καὶ σημασίας, καὶ τοῦ αὐγά-
ζοντος f) 57 καὶ τοῦ ἐξηγήσασθαι g) ᾗ
ἡμέρᾳ ἀ καθ' αὐτόν· καὶ ᾗ ἡμέρᾳ ἀ
καθαρισθήσεται, οὗτος ὁ νόμος τῆς λέπρας.

XV. 1 Καὶ εἶπεν κύριος πρὸς Μωϋσῆν καὶ Ἀαρὼν h) ΚΓ
λέγων· 2 λάλησον τοῖς υἱοῖς Ἰσραὴλ καὶ ἐρεῖς ΛΔ
πρὸς αὐτούς· ἀνδρὶ ἀνδρί, ᾧ ἐὰν γένηται ῥύσις
ἐκ

ΚΓ ΠΕΡΙ ΓΟΝΟΡΡΥΟΥΣ ΝΟΜΟΣ.

e) τοῦ σήθ. f) ἐνδεδωκότος.

g) φωτίσαι.

h) εἰκός, ὅτι οἱ ἀπερισκέπτως ἃ γεννῶσι ῥιπτοῦντες οἷς ἔτυχεν, γονοῤῥυεῖς εἰσιν· οἱ δὲ οἷς δεῖ καὶ μορφώσει τὰ λεγόμενα, καὶ καλῶς σπείρουσι· ζητητέον δέ, πῶς ἀκάθαρτοί εἰσιν ἕως ἑσπέρας· καὶ τάχα, οὗτοι οὐκ εἰσὶν ἀκάθαρτοι· μήποτε γὰρ οὐχ οὗτοί εἰσιν περὶ ὧν λέγεται· ἄνθρωπος, ᾧ ἐὰν ἐξέλθῃ ἐξ αὐτοῦ κοίτη σπέρματος· ἀλλὰ ὧν λόγος ἔξεισιν ὁ καλούμενος κοίτη σπέρματος· τῶν γὰρ ἁγίων σπέρμα, καὶ οὐ κοίτη σπέρματός ἐστιν· καὶ τὸ ὃς ἐξελεύσεται ἐκ σοῦ, οὗτος κληρονομήσει σε, οὐκ ἦν κοίτη σπέρματος, ἀλλὰ σπέρμα· τῷ σπέρματι γάρ σου δώσω τὴν γῆν ταύτην.

ἐκ τοῦ σώματος αὐτοῦ· ἡ ῥύσις αὐτοῦ, ἀκάθαρτός
ἐστιν· 3 καὶ οὗτος ὁ νόμος τῆς ἀκαθαρσίας αὐ-
τοῦ· ῥέων γόνον ἐκ τοῦ σώματος αὐτοῦ ἐκ τῆ
ῥύσεως ἧς συνέστηκεν i) τὸ σῶμα αὐτοῦ διὰ τῆς
ῥύσεως, αὕτη ἡ ἀκαθαρσία αὐτοῦ ἐν αὐτῷ· πᾶ-
σαι αἱ ἡμέραι ῥύσεως σώματος αὐτοῦ, ἧς συνέ-
στηκεν τὸ σῶμα k) αὐτοῦ διὰ τῆς ῥύσεως, ἀκα-
θαρσία αὐτοῦ ἐστιν· 4 πᾶσα κοίτη ἐφ' ἣν ἂν
κοιμηθῇ ὁ γονοῤῥυὴς l), ἀκάθαρτός ἐστιν· καὶ
πᾶν σκεῦος, ἐφ' ὃ ἂν καθίσῃ ἐπ' αὐτὸ ὁ γονο-
ῤῥυὴς, ἀκάθαρτον ἔσται· 5 καὶ ἄνθρωπος ὃς
ἂν ἅψηται τῆς κοίτης αὐτοῦ, πλυνεῖ τὰ ἱμάτια
αὐτοῦ, καὶ λούσεται τὸ σῶμα αὐτοῦ ὕδατι, καὶ
ἀκάθαρτος ἔσται ἕως ἑσπέρας· 6 καὶ ὁ καθή-
μενος ἐπὶ τοῦ σκεύους, ἐφ' ὃ ἂν καθίσῃ ἐπ' αὐ-
τὸ ὁ γονοῤῥυὴς m), πλυνεῖ τὰ ἱμάτια αὐτοῦ
καὶ λούσεται τὸ σῶμα αὐτοῦ ὕδατι, καὶ ἀκάθαρ-
τος ἔσται ἕως ἑσπέρας· 7 καὶ ὁ ἁπτόμενος τοῦ
χρωτὸς τῆς σαρκὸς τοῦ γονοῤῥυοῦς, πλυνεῖ τὰ ἱμά-
τια αὐτοῦ, καὶ λούσεται τὸ σῶμα αὐτοῦ ὕδατι,
καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας· 8 ἐὰν δὲ
προσσιελίσῃ n) ὁ γονοῤῥυὴς ἐπὶ τὸν καθαρὸν,
*59 πλυνεῖ * τὰ ἱμάτια αὐτοῦ, καὶ λούσεται ὕδα-
τι o), καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας· 9 καὶ
πᾶν

i) ΘΕ. ἐσφράγικεν. ΑΚ. ἐσφραγίσθη. ΣΥ. περιπήκνυται. σα-
μαρ. ἐσπήλωσεν.

k) τὸ ἐκ τῆς ῥύσεως συνεστηκέναι τὸ σῶμα, δύναται συνᾴδειν τῷ πο-
ταμὸν λέγεσθαι, καὶ παρ' ἄλλοις τὸ σῶμα.

l) οἱ Λ. ὁ ῥέων. m) οἱ Λ. ὁ ῥέων.

n) τὸ σαμ. πτύσῃ.

o) συνακτέον, ἐπὶ τίνων λέγεται τὸ λούσεται τὸ σῶμα ὕδατι, καὶ
ἐπὶ τίνων λούσεται ὕδατι· ἵνα ἐκ τῆς τηρήσεως νοηθῇ ἡ
διαφορά.

πᾶν ἐπίσαγμα p) ἐφ᾽ ὃ q) ἂν ἐπιβῇ ἐπ᾽ αὐτὸ
ὁ γονοῤῥυὴς, ἀκάθαρτον ἔσαι ἕως ἑσπέρας· [10] καὶ
πᾶς ὁ ἁπτόμενος ἀπὸ πάντων, ὅσα ἂν ᾖ ὑπὸ
κάτω αὐτȣ̃, ἀκάθαρτος ἔσαι ἕως ἑσπέρας· καὶ
ὁ αἴρων αὐτὰ, πλυνεῖ τὰ ἱμάτια αὐτȣ̃, καὶ λȣ́-
σεται ὕδατι, καὶ ἀκάθαρτος ἔσαι ἕως ἑσπέρας·
[11] καὶ ὅσων ἂν ἅψηται ὁ γονοῤῥυὴς, καὶ τὰς
χεῖρας αὐτȣ̃ ȣ̓ νένιπται ὕδατι, πλυνεῖ τὰ ἱμά-
τια αὐτȣ̃, καὶ λȣ́σεται τὸ σῶμα ὕδατι, καὶ
ἀκάθαρτος ἔσαι ἕως ἑσπέρας· [12] καὶ σκεῦος
ὀςράκινον ȣ̃ ἂν ἅψηται ὁ γονοῤῥυὴς, συντριβή-
σεται· καὶ σκεῦος ξύλινον νιφθήσεται ὕδατι,
καὶ καθαρὸν ἔσαι· [13] ἐὰν δὲ καθαρισθῇ ὁ
γονοῤῥυὴς ἐκ τῆς ῥύσεως αὐτȣ̃, καὶ ἐξαριθμήσε-
ται ἑαυτῷ ἑπτὰ ἡμέρας εἰς τὸν καθαρισμὸν αὐ-
τȣ̃, καὶ πλυνεῖ τὰ ἱμάτια αὐτȣ̃ καὶ λȣ́σεται
τὸ σῶμα αὐτȣ̃ ὕδατι ζῶντι, καὶ καθαρὸς ἔ-
ςαι· [14] καὶ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ, λήψεται
ἑαυτῷ δύο τρυγόνας, ἢ δύο νεοσσȣ̀ς περιςερῶν,
καὶ οἴσει αὐτὰ ἔναντι κυρίȣ, ἐπὶ τὰς θύρας τῆς
σκηνῆς τȣ̃ μαρτυρίȣ, καὶ δώσει αὐτὰ τῷ ἱερεῖ,
[15] καὶ ποιήσει αὐτὰ ὁ ἱερεὺς, μίαν περὶ ἁμαρ-
τίας, καὶ μίαν εἰς ὁλοκαύτωμα· καὶ ἐξιλάσε-
ται περὶ αὐτȣ̃ ὁ ἱερεὺς ἔναντι κυρίȣ, ἀπὸ τῆς
ῥύσεως αὐτȣ̃· [16] καὶ ἄνθρωπος ᾧ ἐὰν ἐξέλ-
θῃ ἐξ αὐτȣ̃ κοίτη σπέρματος, καὶ λȣ́σεται ὕδα-
τι πᾶν τὸ σῶμα αὐτȣ̃, καὶ ἀκάθαρτος ἔσαι
ἕως ἑσπέρας· [17] καὶ πᾶν ἱμάτιον, καὶ πᾶν δέρ-
μα, ἐφ᾽ ὃ ἂν γένηται ἐπ᾽ αὐτὸ κοίτη σπέρ-

 ματος,

p) κάθισμα.
q) μιανθήσεται· καὶ πᾶς ὁ ἁπτόμενος ἀπὸ πάντων τῶν ὄντων ἐπ᾽ αὐτόν.

ματος, καὶ πλυθήσεται ὕδατι, καὶ ἀκάθαρτον
ἔσται ἕως ἑσπέρας·
ΚΔ 18 Καὶ γυνὴ ἐὰν κοιμηθῇ ἀνὴρ μετ᾽ αὐτῆς κοίτην σπέρ-
ματος, καὶ λούσονται ὕδατι, καὶ ἀκάθαρτοι ἔσον-
ται ἕως ἑσπέρας· 19 καὶ γυνὴ ἥτις ἐὰν ᾖ ῥέουσα
ΚΕ Αἵματι, καὶ ἔσται ἡ ῥύσις αὐτῆς ἐν τῷ σώματι αὐ-
τῆς, ἑπτὰ ἡμέρας ἔσται ἐν τῇ ἀφέδρῳ r) αὐτῆς·
*60 πᾶς ὁ ἁπτό*μενος αὐτῆς, ἀκάθαρτος ἔσται ἕως
ἑσπέρας· 20 καὶ πᾶν ἐφ᾽ ὃ ἂν κοιτάζηται s) ἐπ᾽
αὐτὸ ἐν τῇ ἀφέδρῳ αὐτῆς, ἀκάθαρτον ἔσται·
καὶ πᾶν ἐφ᾽ ὃ ἂν ἐπικαθίσῃ ἐπ᾽ αὐτὸ, ἀκάθαρ-
τον ἔσται· 21 καὶ πᾶς ὃς ἂν ἅψηται τῆς κοίτης
αὐτῆς, πλυνεῖ τὰ ἱμάτια αὐτοῦ, καὶ λούσεται τὸ
σῶμα αὐτοῦ ὕδατι, καὶ ἀκάθαρτος ἔσται ἕως
ἑσπέρας· 22 καὶ πᾶς ὁ ἁπτόμενος παντὸς σκεύους,
ἐφ᾽ ὃ ἂν καθίσῃ ἐπ᾽ αὐτὸ, πλυνεῖ τὰ ἱμάτια
αὐτοῦ, καὶ λούσεται ὕδατι, καὶ ἀκάθαρτος ἔσται
ἕως ἑσπέρας· 23 ἐὰν δὲ ἐν τῇ κοίτῃ αὐτῆς
οὔσης, ἢ ἐπὶ τοῦ σκεύους οὗ ἂν αὐτὴ κάθηται ἐπ᾽
αὐτῷ, ἐν τῷ ἅπτεσθαι αὐτὸν αὐτῆς, ἀκάθαρτος
ἔσται ἕως ἑσπέρας· 24 ἐὰν δὲ κοίτῃ τίς κοιμηθῇ
μετ᾽ αὐτῆς, καὶ γένηται ἡ ἀκαθαρσία t) αὐ-
τῆς ἐπ᾽ αὐτῷ, καὶ ἀκάθαρτος ἔσται ἑπτὰ ἡμέ-
ρας· καὶ πᾶσα κοίτη ἐφ᾽ ἣν ἂν κοιμηθῇ ἐπ᾽ αὐ-
τῆς, ἀκάθαρτος ἔσται· 25 καὶ γυνὴ ἐὰν ῥέῃ ῥύσιν
αἵματος, ἡμέρας πλείους, οὐκ ἐν καιρῷ τῆς ἀφέ-
δρου αὐτῆς· ἐὰν δὲ ῥέῃ μετὰ τὴν ἄφεδρον αὐτῆς,
πᾶσαι αἱ ἡμέραι ῥύσεως ἀκαθαρσίας αὐτῆς,
καθάπερ

ΚΔ ΠΕΡΙ ΤΗϹ ΕΝ ΑΦΕΔΡΩ ΝΟΜΟϹ.
ΚΕ ΠΕΡΙ ΤΗϹ ΡΕΟΥϹΗϹ ΑΙΜΑ ΓΥΝΑΙΚΟϹ.

r) μετακινήσῃ. s) καθευδήσῃ.
t) ὁ χωρισμός.

καθάπερ αἱ ἡμέραι τῆς ἀφέδρȣ αὐτῆς, ἀκάθαρ-
τος ἔςαι· [25] καὶ πᾶσα κοίτη ἐφ' ἧς ἂν κοιμηθῇ
ἐπ' αὐτῆς, πάσας τὰς ἡμέρας τῆς ῥύσεως αὐτῆς,
κατὰ τὴν κοίτην τῆς ἀφέδρȣ αὐτῆς, ἔςαι αὐ-
τῇ· [26] καὶ πᾶν σκεῦος ἐφ' ὃ ἂν καθίσῃ ἐπ' αὐ-
τὸ, ἀκάθαρτον ἔςαι, κατὰ τὴν ἀκαθαρσίαν
τῆς ἀφέδρȣ αὐτῆς· [27] πᾶς ὁ ἁπτόμενος αὐ-
τῆς, ἀκάθαρτος ἔςαι· καὶ πλυνεῖ τὰ ἱμάτια,
καὶ λȣ́σεται τὸ σῶμα αὐτȣ̃ ὕδατι, καὶ ἀκάθαρ-
τος ἔςαι ἕως ἑσπέρας· [28] ἐὰν δὲ καθαρισθῇ
ἀπὸ τῆς ῥύσεως αὐτῆς, καὶ ἐξαριθμήσεται ἐξ αὐ-
τῆς ἑαυτῇ ἑπτὰ ἡμέρας, καὶ μετὰ ταῦτα καθα-
ρισθήσεται· [29] καὶ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ, λή-
ψεται ἑαυτῇ, δύο τρυγόνας, ἢ δύο νεοσσȣ̀ς περιςε-
ρῶν, καὶ οἴσει αὐτὰ πρὸς τὸν ἱερέα ἐπὶ τὴν θύ-
ραν τῆς σκηνῆς τȣ̃ μαρτυρίȣ· [30] καὶ ποιήσει ὁ ἱε-
ρεὺς τὴν μίαν * περὶ ἁμαρτίας, καὶ τὴν μίαν *61
εἰς ὁλοκαύτωσιν· καὶ ἐξιλάσεται περὶ αὐτῆς ὁ
ἱερεὺς ἔναντι κυρίȣ, ἀπὸ ῥύσεως ἀκαθαρσίας
αὐτῆς·

[31] Καὶ εὐλαβεῖς ποιήσεται τȣ̀ς υἱȣ̀ς Ἰσραὴλ, ἀπὸ τῶν KS
ἀκαθαρσιῶν αὐτῶν, καὶ ȣ̓κ ἀποθανȣ̃νται διὰ τὴν
ἀκαθαρσίαν αὐτῶν, ἐν τῷ μιαίνειν αὐτȣ̀ς τὴν
σκηνήν μȣ τὴν ἐν αὐτοῖς· [32] ȣ̃τος ὁ νόμος τȣ̃ γο-
νοῤῥυȣ̃ς· καὶ ἐάν τινι ἐξέλθῃ ἐξ αὐτȣ̃ κοίτη σπέρ-
ματος, ὥςε μιανθῆναι ἐν αὐτῇ, [33] καὶ τῇ ἐμοῤ-
ῥοȣ́σῃ ἐν τῇ ἀφέδρῳ αὐτῆς, καὶ ὁ γονοῤῥυὴς ἐν
τῇ ῥύσει αὐτȣ̃, τῷ ἄρσενι ἢ τῇ θηλείᾳ, καὶ τῷ ἀνδρὶ,
ὃς ἂν κοιμηθῇ μετὰ ἀποκαθημένης· XVI. [1] καὶ ΛΕ
ἐλάλησεν κύριος πρὸς Μωϋσῆν, μετὰ
Τὸ τελευτῆσαι τȣ̀ς δύο υἱȣ̀ς Ἀαρὼν, ἐν τῷ προσφέρειν



KS ΠΕΡΙ ΕΤΛΑΒΕΙΑΣ.

αὐτοὺς πῦρ ἀλλότριον ἔναντι κυρίου καὶ ἐτελεύτη-
σαν· 2 καὶ εἶπεν κύριος πρὸς Μωϋσῆν· λάλησον
Πρὸς Ἀαρὼν τὸν ἀδελφόν σου, καὶ μὴ εἰσπορευέσθω u)
πᾶσαν ὥραν x) εἰς τὸ ἅγιον, ἐσώτερον τοῦ κατα-
πετάσματος, εἰς πρόσωπον τοῦ ἱλαστηρίου, ὅ ἐστιν
ἐπὶ τῆς κιβωτοῦ τοῦ μαρτυρίου, καὶ οὐκ ἀποθα-
νεῖται· ἐν γὰρ νεφέλῃ ὀφθήσομαι ἐπὶ τοῦ
ἱλαστηρίου, 3 οὕτως εἰσελεύσεται Ἀαρὼν εἰς τὸ
ἅγιον, ἐν μόσχῳ ἐκ βοῶν περὶ ἁμαρτίας, καὶ
κριὸν εἰς ὁλοκαύτωμα, 4 καὶ χιτῶνα y) λινοῦν
ἡγιασμένον ἐνδύσεται, καὶ περισκελὲς λινοῦν z)
ἔσται ἐπὶ τοῦ χρωτὸς αὐτοῦ, καὶ ζώνῃ λινῇ a) ζώ-
σεται, καὶ κίδαριν b) λινὴν περιθήσεται, ἱμάτια
ἅγια ἐστίν· καὶ λούσεται ὕδατι πᾶν τὸ σῶμα αὐτοῦ,
καὶ ἐνδύσεται αὐτά· 5 καὶ παρὰ τῆς συναγωγῆς
KZ Τῶν υἱῶν Ἰσραὴλ, λήψεται δύο χιμάρους c) ἐξ αἰγῶν
περὶ ἁμαρτίας, καὶ κριὸν ἕνα εἰς ὁλοκαύτωμα·
6 καὶ προσάξει Ἀαρὼν τὸν μόσχον τὸν περὶ τῆς
ἁμαρτίας τὸν αὐτοῦ, καὶ ἐξιλάσεται περὶ αὐτοῦ,
*62 καὶ τοῦ οἴκου αὐτοῦ: 7 καὶ λήψεται τοὺς * δύο χι-
μάρους d), καὶ παραστήσει αὐτοὺς ἔναντι κυρίου,
παρὰ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου· 8 καὶ
ἐπιθήσει Ἀαρὼν ἐπὶ τοὺς δύο χιμάρους κλήρους·
κλῆρον ἕνα τῷ κυρίῳ e), καὶ κλῆρον ἕνα τῷ
ἀπο-

KZ ΠΕΡΙ ΤΟΥ ΑΠΟΠΟΜΠΑΙΟΥ.

u) οὐ χωρεῖ ἡ θνητὴ φύσις, παντὶ καιρῷ ἐνδιατρίβειν τοῖς ἐνδοτάτω τοῖς περὶ θεοῦ καὶ τῶν μυστηρίων αὐτοῦ λόγοις.

x) παντὶ καιρῷ.

y) διπλοῦν λευκόν.

z) διπλοῦν.

a) διπλῆ λευκή.

b) μήτρα.

c) τράγους.

d) τράγους.

e) CΥ. κλῆρον ἕνα εἰς κύριον, καὶ κλῆρον ἕνα εἰς τράγον ἀπερχόμενον. AK. εἰς κεκρατεωμένον. CΥ. εἰς ἀπερχόμενον.

ἀποπομπαίῳ, [9] καὶ προσάξει Ἀαρὼν τὸν χίμαρον, ἐφ᾽ ὃν ἐπῆλθεν ἐπ᾽ αὐτὸν ὁ κλῆρος τῷ κυρίῳ· καὶ προσοίσει περὶ ἁμαρτίας: [10] καὶ τὸν χίμαρον f) ἐφ᾽ ὃν ἐπῆλθεν ἐπ᾽ αὐτὸν ὁ κλῆρος τȣ̃ ἀποπομπαίȣ, ςήσει αὐτὸν ζῶντα ἔναντι κυρίȣ, ὥςε ἐξιλάσαϑαι ἐπ᾽ αὐτȣ̃, ὥςε ἐξαποςεῖλαι αὐτὸν εἰς τὴν ἀποπομπὴν g), καὶ ἀφήσει h) αὐτὸν εἰς τὴν ἔρημον· καὶ λήψεται ὁ χίμαρος ἐφ᾽ ἑαυτῷ τὰς ἀνομίας αὐτῶν, εἰς γῆν ἄβατον· [11] καὶ προσάξει Ἀαρὼν τὸν μόσχον τὸν περὶ τῆς ἁμαρτίας τὸν ἑαυτȣ̃, καὶ ἐξιλάσεται περὶ αὐτȣ̃, καὶ τȣ̃ οἴκȣ ἑαυτȣ̃· καὶ σφάξει τὸν μόσχον τὸν περὶ τῆς ἁμαρτίας τὸν ἑαυτȣ̃, [12] καὶ λήψεται πλῆρες τὸ πυρεῖον ἀνθράκων πυρὸς ἀπὸ τȣ̃ θυσιαςηρίȣ τȣ̃ ἀπέναντι κυρίȣ· καὶ πληρώσει τὰς χεῖρας θυμιάματος συνθέσεως λεπτῆς, καὶ εἰσοίσει ἐσώτερον τȣ̃ καταπετάσματος· [13] καὶ ἐπιθήσει τὸ θυμίαμα ἐπὶ τὸ πῦρ ἔναντι κυρίȣ, καὶ καλύψει ἡ ἀτμὶς τȣ̃ θυμιάματος τὸ ἱλαςήριον τὸ ἐπὶ τῶν μαρτυρίων, καὶ ȣ̓κ ἀποθανεῖται· [14] καὶ λήψεται ἀπὸ τȣ̃ αἵματος τȣ̃ μόσχȣ, καὶ ῥανεῖ τῷ δακτύλῳ ἐπὶ τὸ ἱλαςήριον κατ᾽ ἀνατολὰς κατὰ πρόσωπον τȣ̃ ἱλαςηρίȣ ῥανεῖ ἑπτάκις ἀπὸ τȣ̃ αἵματος τῷ δακτύλῳ αὐτȣ̃· [15] καὶ σφάξει τὸν χίμαρον τὸν περὶ τῆς ἁμαρτίας τὸν παρὰ τȣ̃ λαȣ̃ ἔναντι κυρίȣ, καὶ εἰσοίσει τȣ̃ αἵματος αὐτȣ̃, ἐσώτερον τȣ̃ καταπετάσματος, καὶ ποιήσει τὸ αἷμα αὐτȣ̃, ὃν τρόπον ἐποίησεν τὸ αἷμα τȣ̃ μόσχȣ·



f) τράγον. CT. εἰς τράγον ἀφιέμενον.
g) ἀζαζὴλ εἰς τὴν ἔρημον.
h) αφηνα εἰς τὴν ἔρημον.

μόσχου· καὶ ῥανεῖ τὸ αἷμα αὐτοῦ ἐπὶ τὸ ἱλα-
στήριον, κατὰ πρόσωπον τοῦ ἱλαστηρίου, [16] καὶ ἐξι-
*63 λάσεται * τὸ ἅγιον i) ἀπὸ τῶν ἀκαθαρσιῶν
τῶν υἱῶν Ἰσραὴλ, καὶ ἀπὸ τῶν ἀδικημάτων αὐ-
τῶν περὶ πασῶν τῶν ἁμαρτιῶν αὐτῶν· καὶ
οὕτω k) ποιήσει τῇ σκηνῇ τοῦ μαρτυρίου τῇ ἐκτι-
σμένῃ ἐν αὐτοῖς, ἐν μέσῳ τῆς ἀκαθαρσίας αὐ-
τῶν· [17] καὶ πᾶς l) ἄνθρωπος οὐκ ἔσται ἐν
τῇ σκηνῇ τοῦ μαρτυρίου εἰσπορευομένου αὐτοῦ ἐξι-
λάσασθαι ἐν τῷ ἁγίῳ, ἕως ἂν ἐξέλθῃ καὶ ἐξι-
λάσεται περὶ αὐτοῦ, καὶ τοῦ οἴκου αὐτοῦ, καὶ περὶ
πάσης συναγωγῆς υἱῶν Ἰσραήλ·
[18] Καὶ ἐξελεύσεται ἐπὶ τὸ θυσιαστήριον, τὸ ὂν ἀπέν-
CH ἀντι κυρίου, καὶ ἐξιλάσεται ἐπ' αὐτοῦ, καὶ λήψε-
ται ἀπὸ τοῦ αἵματος τοῦ μόσχου, καὶ ἀπὸ τοῦ αἵμα-
τος τοῦ χιμάῤῥου, καὶ ἐπιθήσει ἐπὶ τὰ κέρατα τοῦ
θυσιαστηρίου κύκλῳ· [19] καὶ ῥανεῖ ἐπ' αὐτὸ ἀπὸ
τοῦ αἵματος τῷ δακτύλῳ αὐτοῦ ἑπτάκις, καὶ
καθαριεῖ αὐτὸ, καὶ ἁγιάσει αὐτὸ ἀπὸ τῶν
ἀκαθαρσιῶν τῶν υἱῶν Ἰσραήλ· [20] καὶ συντελέ-
σει ἐξιλασκόμενος τὸ ἅγιον, καὶ τὴν σκηνὴν τοῦ
μαρτυρίου, καὶ τὸ θυσιαστήριον· καὶ περὶ τῶν
ἱερέων καθαριεῖ, καὶ προσάξει τὸν χίμαῤῥον m)
τὸν ζῶντα· [21] καὶ ἐπιθήσει Ἀαρὼν τὰς δύο χεῖρας
αὐτοῦ, ἐπὶ τὴν κεφαλὴν τοῦ χιμάῤῥου τοῦ ζῶντος·
καὶ ἐξαγορεύσει n) ἐπ' αὐτοῦ πάσας τὰς ἀνομίας
τῶν

i) περὶ τῶν ἁγίων.

k) ἡ σκηνὴ τοῦ μαρτυρίου ἐκτίσθη ἐν μέσῳ τῆς ἀκαθαρσίας ἡμῶν τὸ ἐνανθρωπῆσαι φύσει θεῖον.

l) ἡ πᾶς ἄνθρωπος οὐκ ἔσται ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, ἔσται δὲ ἐν αὐτῇ Ἀαρὼν, οὐκέτι ἄνθρωπος ἦν, διὸ οὐκ ἀποθνήσκει, ἀλλὰ ἀπολύεται.

m) τράγον. n) ἐπενεχθήσονται αὐτῷ πᾶσαι.

τῶν υἱῶν Ἰσραὴλ, καὶ πάσας τὰς ἀδικίας [o])
αὐτῶν, καὶ πάσας τὰς ἁμαρτίας αὐτῶν, καὶ
ἐπιθήσει αὐτὰς ἐπὶ τὴν κεφαλὴν τοῦ χιμάῤῥου
τοῦ ζῶντος, καὶ ἐξαποστελεῖ ἐν χειρὶ ἀνθρώπου
ἑτοίμου [p]) εἰς τὴν ἔρημον· [q]) 22 καὶ λήψεται ὁ
χίμαῤῥος ἐφ᾽ ἑαυτῷ τὰς ἀνομίας αὐτῶν εἰς γῆν
ἄβατον [r]), καὶ ἐξαποστελεῖ τὸν χίμαῤῥον εἰς τὴν
ἔρημον, 23 καὶ εἰσελεύσεται Ἀαρὼν εἰς τὴν σκη-
νὴν τοῦ μαρτυρίου, καὶ ἐκδύσεται τὴν στολὴν [s])
τὴν λινὴν, ἣν ἐνδεδύκει εἰσπορευομένου αὐτοῦ εἰς
τὸ ἅγιον· καὶ ἀποθήσει αὐτὴν ἐκεῖ· 24 καὶ
λούσεται τὸ σῶμα αὐτοῦ ὕδατι ἐν τόπῳ ἁγίῳ,
καὶ ἐνδύσεται τὴν στολὴν αὐτοῦ, καὶ ἐξελθὼν
ποιήσει τὸ ὁλοκάρπωμα αὐτοῦ, καὶ τὸ ὁλοκάρ-
πωμα τοῦ λαοῦ, καὶ ἐξιλάσεται περὶ ἑαυτοῦ, καὶ
περὶ τοῦ οἴκου αὐτοῦ, καὶ περὶ τοῦ λαοῦ, ὡς * πε- *64
ρὶ τῶν ἱερέων· 25 καὶ τὸ στέαρ τὸ περὶ τῶν ἁμαρ-
τιῶν ἀνοίσει ἐπὶ τὸ θυσιαστήριον· 26 καὶ ὁ ἐξα-
ποστέλλων τὸν χίμαῤῥον [t]) τὸν διεσταλμένον εἰς
ἄφεσιν [u]), πλυνεῖ τὰ ἱμάτια αὐτοῦ, καὶ λούσε-
ται τὸ σῶμα αὐτοῦ ὕδατι, καὶ μετὰ ταῦτα,
εἰσελεύσεται εἰς τὴν παρεμβολὴν, 27 καὶ τὸν μό-
σχον τὸν περὶ τῆς ἁμαρτίας, καὶ τὸν χίμαῤῥον
τὸν περὶ τῆς ἁμαρτίας αὐτῶν, ὧν τὸ αἷμα αὐ-
τῶν εἰσηνέχθη ἐξιλάσασθαι ἐν τῷ ἁγίῳ· ἐξοί-
σουσιν αὐτὰ ἔξω τῆς παρεμβολῆς, καὶ κατα-
καύσουσιν αὐτὰ ἐν πυρὶ, καὶ τὰ δέρματα αὐτῶν,
καὶ



o) ἀτοπίας.
p) καιρίμου.
q) πλανητεύοντος.
r) γαζαρα.
s) τὰ φάρεα τὰ λευκά.
t) ἐξαποστελλόμενος ἅμα τῷ χιμάῤῥῳ εἰς ἀζαζήλ.
u) τὴν ἀποπομπήν.

καὶ τὰ κρέα αὐτῶν, καὶ τὴν κόπρον αὐτῶν: 28 ὁ
δὲ κατακαίων αὐτὰ, πλυνεῖ τὰ ἱμάτια αὐτȣ͂,
καὶ λȣ́σεται τὸ σῶμα αὐτȣ͂ ὕδατι, καὶ μεταταῦ-
τα εἰσελεύσεται εἰς τὴν παρεμβολὴν, 29 καὶ
ἔςαι τȣ͂το ὑμῖν νόμιμον αἰώνιον· ἐν
τῷ μηνὶ τῷ ἑβδόμῳ δεκάτῃ τȣ͂ μηνὸς,
ΚΗ Ταπεινώσετε x) y) τὰς ψυχὰς ὑμῶν· καὶ πᾶν
ἔργον ȣ̓ ποιήσετε, ὁ αὐτόχθων καὶ ὁ προσήλυτος
ὁ προσκείμενος ἐν ὑμῖν· 30 ἐν γὰρ τῇ ἡμέρᾳ ταύ-
τῃ, ἐξιλάσεται περὶ ὑμῶν καθαρίσαι ὑμᾶς, ἀπὸ
πασῶν τῶν ἁμαρτιῶν ὑμῶν ἔναντι κυρίȣ, καὶ
καθαριθήσεσθε· 31 σάββατα σαββάτων, ἔςαι
ὑμῖν· καὶ ταπεινώσετε τὰς ψυχὰς ὑμῶν νόμι-
μον αἰώνιον, 32 ἐξιλάσεται ὁ ἱερεὺς, ὃν ἂν χρίσω-
σιν αὐτὸν, καὶ ὃν ἂν τελειώσωσιν z) τὰς χεῖρας
αὐτȣ͂, ἱερατεύειν μετὰ τὸν πατέρα αὐτȣ͂· καὶ
ἐνδύσεται τὴν ςολὴν τὴν λινὴν, ςολὴν τὴν ἁγίαν·
33 καὶ ἐξιλάσεται τὸ ἅγιον τȣ͂ ἁγίȣ, καὶ τὴν
σκηνὴν τȣ͂ μαρτυρίȣ, καὶ τὸ θυσιαςήριον ἐξιλά-
σεται· καὶ περὶ τῶν ἱερέων, καὶ περὶ πάσης
τῆς συναγωγῆς ἐξιλάσεται· 34 καὶ ἔςαι τȣ͂το
ὑμῖν νόμιμον αἰώνιον, ἐξιλάσκεσθαι περὶ τῶν
υἱῶν Ἰσραὴλ, ἀπὸ πασῶν τῶν ἁμαρτιῶν
αὐτῶν, ἅπαξ τȣ͂ ἐνιαυτȣ͂ ποιηθήσεται,
καθάπερ a) συνέταξεν κύριος τῷ Μωϋ-
σῆ· XVII. 1 καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν
Λέγων·

ΚΗ ΠΕΡΙ ΝΗΣΤΕΙΑΣ ΝΟΜΟΣ.

x) περὶ τῆς δεκάτης τȣ͂ μηνὸς, τȣ͂ ἑβδόμȣ· καὶ ὁ προσήλυτος μὴ ποιεῖν ἔργον νομοθετεῖται.

y) ȣ̓ πρόσκειται λατρευτόν.

z) ȣ͂ ἐπληρώθη ὁ τόπος, ἱερατεύειν.

a) Μωϋσῇ λέγων ὁ κύριος ȣ̓κ εἶπεν καθάπερ συνέταξά σοι.

Λέγων· [2] λάλησον πρὸς Ἀαρὼν, καὶ πρὸς τοὺς υἱοὺς ΚΘ
αὐτοῦ, καὶ πρὸς πάντας τοὺς υἱοὺς Ἰσραὴλ, καὶ ΛϚ
ἐρεῖς πρὸς αὐτούς· τοῦ*το τὸ ῥῆμα, ὃ ἐνετείλατο* 65
κύριος λέγων· [3] ἄνθρωπος ἄνθρωπος τῶν υἱῶν
Ἰσραὴλ, ἢ τῶν προσηλύτων, τῶν προσκειμένων
ἐν ὑμῖν, ὃς ἂν σφάξῃ μόσχον, ἢ πρόβατον, ἢ
αἶγα, ἐν τῇ παρεμβολῇ, καὶ ὃς ἂν σφάξῃ ἔξω
τῆς παρεμβολῆς, [4] καὶ ἐπὶ τὴν θύραν τῆς σκη-
νῆς τοῦ μαρτυρίου μὴ ἐνέγκῃ, ὥστε ποιῆσαι αὐτὸ εἰς
ὁλοκαύτωμα, ἢ σωτηρίου κυρίῳ, δεκτὸν εἰς ὀσμὴν
εὐωδίας· καὶ ὃς ἂν σφάξῃ ἔξω, καὶ ἐπὶ τὴν
θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου μὴ ἐνέγκῃ αὐτὸ,
ὥστε προσενέγκαι δῶρον τῷ κυρίῳ ἀπέναντι τῆς
σκηνῆς κυρίου, αἷμα λογισθήσεται τῷ ἀνθρώπῳ
ἐκείνῳ, αἷμα ἐξέχεεν· ἐξολοθρευθήσεται ἡ ψυ-
χὴ ἐκείνη ἐκ τοῦ λαοῦ αὐτῆς, [5] ὅπως ἂν φέρωσιν
οἱ υἱοὶ Ἰσραὴλ τὰς θυσίας αὐτῶν, ὅσας ἂν αὐ-
τοὶ σφάζωσιν b) ἐν τοῖς πεδίοις· καὶ οἴσουσιν
αὐτὰ τῷ κυρίῳ ἐπὶ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρ-
τυρίου πρὸς τὸν ἱερέα· καὶ θύσουσιν θυσίαν σω-
τηρίου τῷ κυρίῳ αὐτά, [6] καὶ προσχεεῖ ὁ ἱερεὺς τὸ
αἷμα ἐπὶ τὸ θυσιαστήριον κύκλῳ, ἀπέναντι κυ-
ρίου, παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου,
καὶ ἀνοίσει τὸ στέαρ, εἰς ὀσμὴν εὐωδίας τῷ κυρίῳ,
[7] καὶ οὐ c) θύσουσιν ἐπὶ τὰς θυσίας αὐτῶν τοῖς
ματαίοις d), οἷς αὐτοὶ ἐκπορνεύουσιν ὀπίσω αὐ-
τῶν,

ΚΘ ΠΕΡΙ ΤΟΥ ΜΗ ΔΕΙΝ ΘΥΕΙΝ ΕΞΩ ΤΗΣ ΠΑΡ
ΕΜΒΟΛΗΣ.

b) θυσιάζουσιν.
c) ΑΚ. τοῖς τριχιῶσιν. ΘΕ. τοῖς σεειρείμ.
d) τριχιῶσι δαίμοσιν εἶπεν ΑΚ. ἐπεὶ καὶ τοιαύτης εἰσὶ τινες φύσεως αὐτῶν.

τῶν, νόμιμον αἰώνιον, ἔσται ὑμῖν εἰς τὰς γενεὰς
ὑμῶν, 8 καὶ ἐρεῖς πρὸς αὐτούς· ἄνθρωπος ἄν-
θρωπος τῶν υἱῶν Ἰσραὴλ, καὶ ἀπὸ τῶν υἱῶν τῶν
προσηλύτων τῶν προσκειμένων ἐν ὑμῖν, ὃς ἂν
ποιήσῃ ὁλοκαύτωμα, ἢ θυσίαν, 9 καὶ ἐπὶ τὴν
θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου μὴ ἐνέγκῃ, ποιῆ-
σαι αὐτὸ τῷ κυρίῳ, ἐξολοθρευθήσεται ὁ ἄνθρω-
πος ἐκεῖνος e) ἐκ τοῦ λαοῦ αὐτοῦ·
Λ̄ 10 Καὶ ἄνθρωπος f) ἄνθρωπος τῶν υἱῶν Ἰσραὴλ, ἢ
τῶν προσηλύτων τῶν προσκειμένων ἐν ὑμῖν, ὃς ἂν
φάγῃ πᾶν αἷμα, καὶ ἐπιστήσω g) τὸ πρόσωπόν
μου ἐπὶ τὴν ψυχὴν h) τὴν ἔσθουσαν τὸ αἷμα, καὶ
ἀπολῶ αὐτὴν ἐκ τοῦ λαοῦ αὐτῆς· 11 ἡ γὰρ ψυχὴ
πάσης σαρκὸς, αἷμα αὐτοῦ ἐστιν· καὶ ἐγὼ δέδω-
κα αὐτὸ ὑμῖν ἐπὶ τοῦ θυσιαστηρίου ἐξιλάσκεσθαι
περὶ τῶν ψυχῶν ὑμῶν· τὸ γὰρ αἷμα αὐτοῦ, ἀν-
*66 τὶ τῆς * ψυχῆς ἐξιλάσεται· 12 διὰ τοῦτο εἴρηκα
τοῖς υἱοῖς Ἰσραήλ· πᾶσα i) ψυχὴ ἐξ ὑμῶν,
οὐ φάγεται αἷμα· καὶ ὁ προσήλυτος ὁ προσκεί-
μενος ἐν ὑμῖν, οὐ φάγεται αἷμα· 13 καὶ ἄνθρω-
πος

Λ̄ ΠΕΡΙ ΤΟΥ ΜΗ ΔΕΙΝ ΕСΘΙΕΙΝ ΑΙΜΑ.

e) ἡ ψυχὴ ἐκείνη.

f) τὴν περὶ τῆς κρίσεως τοῦ αἵματος ἀπειλὴν, ἀνθρώπῳ ἀπὸ υἱῶν Ἰσραὴλ, ἢ τῶν προσηλύτων, τῶν προσκειμένων αὐτοῖς ἀπειλεῖ μόνῳ σημ.

g) δώσω.

h) ἐγὼ οἶμαι τὴν κρίσιν ὑπὸ τοῦ υἱοῦ τοῦ ἀνθρώπου γίνεσθαι, τουτέστι τῆς ψυχῆς Ἰησοῦ, ἣν καὶ νῦν νομίζω λέγεσθαι.

i) ζητητέον, πῶς .. έγεται πᾶσα ψυχὴ .. ὑμῶν οὐ φάγεται αἷ ...., καθολικῶς ἐν τῷ .... γγελίῳ εἴρηται· ἐὰν ... φάγητέ μου τὴν σάρ ..., καὶ πίητέ μου .. μα οὐκ ἔχετε ζωὴν ἐν .. αὐτοῖς· καὶ πάλιν, ἡ .. άρξ μου ἀληθής ἐστι .. ρῶσις, καὶ τὸ αἷμά μου .. ληθής ἐστι πόσις· μήποτε οὖν, οὐ ταὐτόν ἐστι φαγεῖν αἷμα τῷ πιεῖν αἷμα.

πος ἄνθρωπος τῶν υἱῶν Ἰσραὴλ, ἢ τῶν προση-
λύτων τῶν προσκειμένων ἐν ὑμῖν, ὃς ἂν θηρεύσῃ
θήρευμα k), θηρίον ἢ πετεινὸν ὃ ἔσθεται, καὶ ἐκ-
χεεῖ τὸ αἷμα αὐτȣ̃, καὶ καλύψει αὐτὸ τῇ γῇ· l)
14 ἡ γὰρ ψυχὴ πάσης σαρκὸς, αἷμα αὐτȣ̃ ἐϛιν·
καὶ εἶπα τοῖς υἱοῖς Ἰσραὴλ, αἷμα πάσης σαρκὸς,
ȣ̓ φάγεσθε· ὅτι ψυχὴ πάσης σαρκὸς, αἷμα m)
αὐτȣ̃ ἐϛιν· πᾶς ὁ ἔσθων αὐτὸ ἐξολοθρευθήσε-
ται· 15 καὶ πᾶσα n) ψυχὴ ἥτις φάγεται
θνησιμαῖον, ἢ θηριάλωτον ἐν τοῖς αὐτοῖς αὐτόχθο- ΛΑ
σιν, ἢ ἐν τοῖς προσηλύτοις, πλυνεῖ τὰ ἱμάτια
αὐτȣ̃, καὶ λȣ́σεται τὸ σῶμα ὕδατι, καὶ ἀκά-
θαρτος ἔϛαι ἕως ἑσπέρας, καὶ καθαρὸς ἔ-
ϛαι· 16 ἐὰν δὲ μὴ πλύνῃ τὰ ἱμάτια αὐτȣ̃,
καὶ τὸ σῶμα αὐτȣ̃ μὴ λȣ́σηται ὕδατι, καὶ
λήψεται ἀνόμιμα αὐτȣ̃· XVIII. 1 καὶ
ἐλάλησεν κύριος πρὸς Μωϋσῆν λέγων·
2 λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐτȣ̀ς· ΛΒ
ἐγὼ κύριος ὁ θεὸς ὑμῶν· 3 κατὰ τὰ ἐπιτηδεύμα- ΛΖ
τα o) γῆς Αἰγύπτȣ ἐν ᾗ παρῳκήσατε ἐπ' αὐ-
τῆς, ȣ̓ ποιήσετε· καὶ κατὰ τὰ ἐπιτηδεύματα
τῆς Χαναὰν, εἰς ἣν ἐγὼ εἰσάγω ὑμᾶς ἐκεῖ, ȣ̓
ποιήσετε: καὶ τοῖς νομίμοις p) αὐτῶν ȣ̓ πορεύ-
σεσθε·

ΛΑ ΠΕΡΙ ΤΟΥ ΜΗ ΔΕΙΝ ΕϹΘΙΕΙΝ ΘΝΗϹΙΜΑΙΟΝ.

ΛΒ ΠΕΡΙ ΤΟΥ ΜΗ ΔΕΙΝ ΑΤΑΚΤΟΥϹ ΠΟΙΕΙϹΘΑΙ ΤΑϹ ϹΥΖΥΓΙΑϹ.

k) ..Κ. ζῶον.
l) ΑΚ. ϹΥ. χοΐ. ΘΕ. ..ώματι.
m) ϹΥ. τὸ αἷμα αὐτῆς ἥνωται.
n) τηρητέον ἐπὶ τίνων οἱ υἱοὶ Ἰσραὴλ, καὶ ἐπὶ τίνων αὐτόχθονες λέγονται, καὶ ἐπὶ τίνων ἐγχώριοι.
o) ἔργα. p) ἠκριβασμένοις.

σεσθε· [4] τὰ κρίματά μου ποιήσετε, καὶ τὰ προσ-
τάγματά μου φυλάξεσθε, καὶ πορεύεσθε ἐν αὐ-
τοῖς· ἐγὼ κύριος ὁ θεὸς ὑμῶν· [5] καὶ φυλάξα-
σθε πάντα τὰ προστάγματά μου, καὶ πάντα τὰ
κρίματά μου, καὶ ποιήσετε αὐτὰ, ἃ ποιήσας αὐ-
τὰ ἄνθρωπος ζήσεται ἐν αὐτοῖς, ἐγὼ κύριος ὁ
θεὸς ὑμῶν·

ΛΓ [6] Ἄνθρωπος q) ἄνθρωπος πρὸς πάντα οἰκεῖα σαρ-
κὸς αὐτοῦ, οὐ προσελεύσεται ἀποκαλύψαι ἀσχη-
μοσύνην: ἐγὼ κύριος, [7] ἀσχημοσύνην r) τοῦ πα-
τρός σου, καὶ ἀσχημοσύνην τῆς μητρός σου, οὐκ
ἀποκαλύψεις· μήτηρ γάρ σου ἐστιν, οὐκ ἀποκα-
λύψεις τὴν ἀσχημοσύνην αὐτῆς· [8] ἀσχημοσύνην
γυναικὸς πατρός σου, οὐκ ἀποκαλύψεις· ἀσχη-
*67 μοσύνη πατρός σου ἐστίν· * [9] ἀσχημοσύνην τῆς
ἀδελφῆς σου, ἐκ πατρός σου, ἢ ἐκ μητρός σου ἐν-
δογενοῦς, ἢ γεγεννημένης ἔξω, οὐκ ἀποκαλύψεις τὴν
ἀσχημοσύνην αὐτῶν· [10] ἀσχημοσύνην θυγατρὸς
υἱοῦ σου, ἢ θυγατρὸς, θυγατρός σου, οὐκ ἀποκαλύ-
ψεις τὴν ἀσχημοσύνην αὐτῶν, ὅτι σὴ ἀσχημοσύ-
νη ἐστίν· [11] ἀσχημοσύνην, θυγατρὸς γυναικὸς πα-
τρός σου, οὐκ ἀποκαλύψεις, ὁμοπατρία s) ἀδελ-
φή σου ἐστὶν, οὐκ ἀποκαλύψεις τὴν ἀσχημοσύνην
αὐτῆς· [12] ἀσχημοσύνην ἀδελφῆς πατρός σου, οὐκ
ἀποκαλύψεις· οἰκεῖα γὰρ πατρός σου ἐστίν·
[13] ἀσχημοσύνην ἀδελφῆς μητρός σου, οὐκ ἀποκα-
λύψεις· οἰκεῖα γὰρ μητρός σου ἐστίν· [14] ἀσχημο-
σύνην ἀδελφοῦ τοῦ πατρός σου, οὐκ ἀποκαλύψεις,
καὶ

ΛΓ ΠΕΡΙ ΓΑΜΩΝ ΟΙΣ ΟΥ ΔΕΙ ΠΡΟΣΕΡΧΕΣΘΑΙ.

q) ἀνὴρ ἀνὴρ πρὸς πᾶν λίμμα σύνεγγυς γένους αὐτοῦ.

r) αἰδῶ. s) ὁμομητρία.

καὶ πρὸς τὴν γυναῖκα αὐτοῦ οὐκ εἰσελεύσῃ, συγ-
γενὴς t) γάρ σου ἐστιν· 15 ἀσχημοσύνην νύμφης
σου, οὐκ ἀποκαλύψεις, γυνὴ γὰρ υἱοῦ σου ἐστίν,
οὐκ ἀποκαλύψεις τὴν ἀσχημοσύνην αὐτῆς· 16 ἀσχη-
μοσύνην γυναικὸς ἀδελφοῦ σου, οὐκ ἀποκαλύψεις·
ἀσχημοσύνη ἀδελφοῦ σου ἐστιν· 17 ἀσχημοσύνην
γυναικὸς καὶ θυγατρὸς αὐτῆς, οὐκ ἀποκαλύψεις·
τὴν θυγατέρα τοῦ υἱοῦ αὐτῆς, καὶ τὴν θυγατέρα
τῆς θυγατρὸς αὐτῆς, οὐ λήψῃ, ἀποκαλύψαι τὴν
ἀσχημοσύνην αὐτῶν· οἰκεῖαι σου εἰσιν, ἀσέβη-
μά u) ἐστιν· 18 γυναῖκα ἐπ' ἀδελφῇ αὐτῆς οὐ
λήψῃ ἀντίζηλον x), ἀποκαλύψαι τὴν ἀσχημο-
σύνην αὐτῆς ἐπ' αὐτῆς, ἔτι ζώσης αὐτῆς· 19 καὶ
πρὸς γυναῖκα ἐν χωρισμῷ ἀκαθαρσίας y) αὐ-
τῆς· οὐ προσελεύσῃ ἀποκαλύψαι τὴν ἀσχημοσύνην
αὐτῆς, 20 καὶ πρὸς γυναῖκα τοῦ πλησίον σου οὐ
δώσεις κοίτην τοῦ σπέρματός σου, τοῦ ἐκμιανθῆναι
πρὸς αὐτήν· 21 καὶ ἀπὸ τοῦ σπέρματός σου, οὐ
δώσεις λατρεύειν z) ἄρχοντι a), καὶ οὐ βεβηλώ-
σεις τὸ ὄνομα τὸ ἅγιον, ἐγὼ κύριος· 22 καὶ με-
τὰ ἄρσενος οὐ κοιμηθήσῃ κοίτην γυναικείαν, βδέ-
λυγμα γάρ ἐστιν· 23 καὶ πρὸς πᾶν * τετράπουν, *68
οὐ δώσεις τὴν κοίτην σου εἰς σπερματισμόν, ἐκ-
μιανθῆναι πρὸς αὐτό· καὶ γυνὴ οὐ στήσεται
πρὸς b) πᾶν τετράπουν c) μιανθῆναι, μυσα-
ρόν

t) ὡς ἀδελφὴ πατρός σου ἐστιν.
u) CT. μύσος ΘΕ. ζέμμα.
x) λίμμα αὐτῆς. y) ἐν μιάσματι.
z) καὶ γὰρ καὶ τοῖς εἰδώλοις προσκυνῆσαι πορνεία, διὸ καὶ σὺν ταῖς ἀπηγορευμέναις ἐτάγη μίξεσι.
a) ΑΚ. CT. ΘΕ. παραβιβάσαι τῷ μολόχ.
b) ἐν παντὶ κτήνει.
c) παρὰ Πέρσαις τὸ κακὸν ἕως τοῦ νῦν μεμένηκεν.

ρόν [d]) ἐστιν· [24] μὴ μιαίνεσθε ἐν τούτοις πᾶσιν·
ἐν πᾶσι γὰρ τούτοις, ἐμιάνθησαν τὰ ἔθνη, ἃ
ἐγὼ ἐξαποστέλλω πρὸ προσώπου [e]) ὑμῶν, [25] καὶ
ἐξεμιάνθη ἡ γὴ, καὶ ἀνταπέδωκα [f]) ἀδικίαν
αὐτοῖς δι᾽ αὐτήν·
καὶ [g]) προσώχθισεν [h]) ἡ γὴ τοῖς ἐγκαθημένοις
ἐπ᾽ αὐτῆς, [26] καὶ φυλάξεσθε πάντα τὰ νόμι-
μά [i]) μου, καὶ πάντα τὰ προστάγματά μου,
καὶ οὐ ποιήσετε ἀπὸ πάντων τῶν βδελυγμάτων
τούτων· ὁ ἐγχώριος [k]), καὶ ὁ προσγενόμενος
προσήλυτος ἐν ὑμῖν· [27] πάντα γὰρ τὰ βδε-
λύγματα ταῦτα, ἐποίησαν οἱ ἄνθρωποι τῆς γῆς,
οἱ ὄντες πρότεροι ὑμῶν, καὶ ἐμιάνθη ἡ γή· [28] καὶ
ἵνα μὴ προσωχθίσῃ [l]) ὑμῖν ἡ γὴ ἐν τῷ μιαί-
νειν ὑμᾶς αὐτὴν, ὃν τρόπον προσώχθισεν [m]) τοῖς
ἔθνεσιν τοῖς πρὸ ὑμῶν· [29] ὅτι πᾶς ὃς ἂν ποιή-
σῃ ἀπὸ πάντων τῶν βδελυγμάτων τούτων, ἐξο-
λοθρευθήσονται αἱ ψυχαὶ αἱ ποιοῦσαι, ἐκ μέσου
τοῦ λαοῦ αὐτῶν· [30] καὶ φυλάξεσθε τὰ προστά-
γματα

d) ΘΕ. θαβελ. ΣΥ. ἄῤῥητον, ἀπειρημένον.

e) σημ᾽ καὶ ἀπὸ τοῦ τὴν γῆν λαμβάνειν τὴν ἀδικίαν αὐτῶν, καὶ ἀπὸ τοῦ προσοχθίζειν τοῖς ἐγκαθημένοις ἔμψυχος δείκνυται.

f) ἐπεσκεψάμην.

g) ἐπώχθισεν ἡ γὴ τοῖς ἐγκαθημένοις ἔθνεσι τοῖς πρὸ τοῦ Ἰσραὴλ διὰ τὰς ἀνομίας αὐτῶν, καὶ προσωχθίζει δὲ καὶ τῷ Ἰσραὴλ ἀνομοῦντι εἰκότως στενάζει βαρουμένη, καὶ ὠδίνει βουλομένη ἀπεκδύσασθαι τὴν δουλείαν τῶν φθορῶν ὡς καὶ Παῦλος αὐτὴ μαρτυρεῖ· ὅρα δὲ μήπως καὶ σεισμοὶ διὰ ταῦτα γίνονται· ἔσθοτε δὲ ἀγανακτοῦσιν αὐτοὶ, ὡς ὁ ἥλιος ἐπὶ τοῦ Χριστοῦ ἐσκοτίσθη.

h) ἀπέβαλεν ἡ γὴ τοὺς ἐνοικοῦντας.

i) ἠκριβασμένα. k) ὁ αὐτόχθων.

l) ὡς περὶ ἐμψύχου καὶ λογικῆς διαλέγεται τῆς γῆς· τὸ γὰρ προσοχθίζειν οὐ μόνον ἐμψύχου, ἀλλὰ καὶ λογικῆς.

m) ΑΚ. ἀπέβαλεν. ΣΥ. ἐξήρασεν. ΘΕ. ἐξήμεσεν.

γματά μȣ, ὅπως n) μὴ ποιήσητε ἀπὸ πάντων
τῶν νομίμων τῶν ἐβδελυγμενων, ἃ γέ-
γονεν πρὸ τȣ̃ ὑμᾶς· καὶ ȣ̓ μιανθή-
σεσθε ἐν αὐτοῖς, ὅτι ἐγὼ κύριος ὁ θεὸς
ὑμῶν· XVIIII. [1] καὶ ἐλάλησεν κύριος πρὸς Μω-
ϋσῆν λέγων· [2] λάλησον πάσῃ τῇ συναγωγῇ τῶν ΛΔ
υἱῶν Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐτȣ̀ς· ἅγιοι o) ΛΗ
ἔσεσθε, ὅτι ἐγὼ ἅγιος κύριος ὁ θεὸς ὑμῶν·
[3] ἕκαϛος πατέρα p) αὐτȣ̃ καὶ μητέρα αὐτȣ̃
φοβείσθω· καὶ τὰ σάββατά μȣ φυλάξεσθε,
ἐγὼ κύριος ὁ θεὸς ὑμῶν· [4] ȣ̓κ ἐπακολȣθήσετε
εἰδώλοις· καὶ θεȣ̀ς χωνευτȣ̀ς, ȣ̓ ποιήσετε ὑμῖν,
ἐγὼ κύριος ὁ θεὸς ὑμῶν· [5] καὶ ἐὰν θύση-
τε θυσίαν σωτηρίȣ τῷ κυρίῳ, δεκτὴν ὑμῶν θύ-
σετε· [6] ᾗ ἂν ἡμέρᾳ θύσητε, βρωθήσεται καὶ
τῇ αὔριον· καὶ ἐὰν καταλειφθῇ, ἕως ἡμέρας
τρίτης, ἐν πυρὶ κατακαυθήσεται· [7] ἐὰν δὲ
βρώσει βρωθῇ, τῇ ἡμέρᾳ τῇ * τρίτῃ, ἄθυτόν q) *69
ἐϛιν, ȣ̓ δεχθήσεται· [8] ὁ δὲ ἔσθων αὐτὸ ἁμαρ-
τίαν λήψεται, ὅτι τὰ ἅγια κυρίȣ ἐβεβήλωσεν·
καὶ

ΛΔ ΟΤΙ ΕΝ ΤΩ ΤΗΡΕΙΝ ΤΑΣ ΕΝΤΟΛΑΣ ΓΙΝΟΝΤΑΙ ΑΓΙΟΙ.

n) σημειωτέον, ὅτι καὶ τὰ ἐβδελυγμένα νόμιμα ὠνόμασεν καὶ μήποτε πάντα ὅσα προστάσσει ὁ τῶν ἐθνῶν νόμος ἐναντίως τῷ βȣλήματι τȣ̃ σώζοντος ἐν θεῷ νόμȣ, νόμιμα ἐϛιν ἐβδελυγμένα, καὶ τοιȣ́τοις πολλοῖς ἑαυτȣ̀ς ὑποτάσσοντες οἱ μετὰ τὴν πίϛιν ϛρατευόμενοι τῷ κόσμῳ· ȣ̓ δύνανται γὰρ τῷ ϛρατολογȣ̃ντι ἀρέσαι θεῷ.

o) εἰ μὴ ὁμώνυμον τὸ ἅγιοι ἡ αὐτὴ τῷ γένει ἀρετὴ ἀνθρώπȣ καὶ θεȣ̃.

p) ȣ̓ μόνον θεὸν, ἀλλὰ καὶ γονεῖς φοβητέον, κατὰ δὲ τὸν ἀπόϛολον ἡ δὲ γυνὴ ἵνα φοβῆτε τὸν ἄνδρα.

q) ΘΕ. φεργȣλ. ΑΚ. ἀπόβλητον. ΣΥ. ἀργόν ἐϛιν ȣ̓κ εὐδοκηθήσεται.

καὶ ἐξολοθρευθήσονται αἱ ψυχαὶ αἱ ἔσθουσαι ἐκ
τοῦ λαοῦ αὐτῶν, 9 καὶ ἐκθεριζόντων ὑμῶν τὸν
θερισμὸν τῆς γῆς ὑμῶν· οὐ συντελέσετε τὸν θε-
ρισμὸν r) ὑμῶν, τοῦ ἀγροῦ ἐκθερίσαι· καὶ τὰ
ἀποπίπτοντα τοῦ θερισμοῦ σου, οὐ συλλέξεις·
10 καὶ τὸν ἀμπελῶνά σου, οὐκ ἐπανατρυγήσεις s)
οὐδὲ τοὺς ῥῶγας τοῦ ἀμπελῶνός σου συλλέξεις· τῷ
πτωχῷ, καὶ τῷ προσηλύτῳ, καταλείψεις αὐτά,
ἐγὼ κύριος ὁ θεὸς ὑμῶν· 11 οὐ κλέψετε, καὶ
ΛΘ οὐ ψεύσεσθε, οὐδὲ συκοφαντήσει t) ἕκαστος τὸν πλη-
σίον, 12 καὶ οὐκ ὀμεῖσθε τῷ ὀνόματί μου ἐπ' ἀδί-
κῳ· καὶ οὐ βεβηλώσετε τὸ ὄνομα τὸ ἅγιον τοῦ
θεοῦ ὑμῶν, ἐγώ εἰμι κύριος ὁ θεὸς ὑμῶν· 13 οὐκ
ἀδικήσεις u) τὸν πλησίον, καὶ οὐχ ἁρπάσεις· x)
καὶ οὐ κοιμηθήσεται ὁ μισθὸς τοῦ μισθωτοῦ σου y)
παρὰ σοὶ, ἕως πρωΐ· 14 οὐ κακῶς z) ἐρεῖς κω-
φὸν, καὶ ἀπέναντι τυφλοῦ· οὐ προσθήσεις σκάν-
δαλον· καὶ φοβηθήσῃ a) κύριον τὸν θεόν σου,
ἐγὼ κύριος ὁ θεὸς ὑμῶν· 15 οὐ ποιήσετε ἄδικον
ἐν κρίσει· οὐ λήψῃ πρόσωπον πτωχοῦ· οὐδὲ μὴ
θαυμάσῃς b) πρόσωπον δυνάστου· ἐν δικαιοσύνῃ,
κρινεῖς

r) τοφαάθ' τοῦ ἀγροῦ σου.    s) ἐπιφυλλιεῖς.

t) ἐὰν μὴ πάντα ἄνθρωπον πλησίον νομίζωμεν, ὡς ὁ εἰπών· καὶ τίς ἐστίν μου πλησίον, ἀδικήσομεν τὸν μὴ πλησίον, ὡς λαβόντες περὶ αὐτοῦ ἐντολήν.

u) οὐ συκοφαντήσεις.    x) ἀποστερήσεις.

y) ζητούμενον, τί τὸ κοιμώμενον ἐν τῷ ἐξερχομένῳ τὸν βίον· λεκτέον, ὅτι τὸ σῶμα· ἡ γὰρ ψυχὴ τοῦ δικαίου ἀναλύσασα, σὺν Χριστῷ ἐγρήγορεν· ἐὰν δὲ τίς ζητῇ, εἰ τὸν ἀναίσθητον δεῖ λέγειν κοιμᾶσθαι παραθήσει, τὸ οὐ κοιμηθήσεται ὁ μισθὸς τοῦ μισθωτοῦ σου παρὰ σοὶ ἕως πρωΐ.

z) οὐ καταράσῃ, οὐ λοιδορήσεις.

a) τάχα ἐντεῦθεν ἐλήφθη τὸ φοβηθήσῃ κύριον τὸν θεόν σου.

b) δοξάσεις πρόσωπον μεγάλου.

κρινεῖς τὸν πλησίον σȣ· c) [16] ȣ̓ πορεύσῃ δό-
λῳ d) ἐν τῷ ἔθνει e) σȣ· ȣ̓κ ἐπισυστήσῃ ἐφ'
αἷμα τȣ̃ πλησίον σȣ, ἐγὼ κύριος ὁ θεὸς ὑμῶν·
[17] ȣ̓ μισήσεις τὸν ἀδελφόν σȣ τῇ διανοίᾳ f)
σȣ· g) ἐλεγμῷ ἐλέγξεις τὸν πλησίον σȣ, καὶ
ȣ̓ λήψῃ δι' αὐτὸν ἁμαρτίαν, [18] καὶ ȣ̓κ ἐκδικά-
ταί σȣ h) ἡ χεὶρ καὶ ȣ̓ i) μηνιεῖς k) τοῖς υἱοῖς
τȣ̃ λαȣ̃ σȣ· καὶ ἀγαπήσεις l) τὸν πλησίον σȣ
ὡς σεαυτόν· ἐγὼ κύριος ὁ θεὸς ὑμῶν· [19] τὸν
νόμον μȣ φυλάξασθε· τὰ κτήνη σȣ, ȣ̓ κατο-
χεύσεις ἑτεροζύγῳ· καὶ τὸν ἀμπελῶνά σȣ ȣ̓ κατα-
σπερεῖς διάφορον· m) καὶ ἱμάτιον ἐκ δύο ὑφα-
σμένον κίβδηλον ȣ̓κ ἐπιβαλεῖς σεαυτῷ· [20] καὶ
ἐάν τις κοιμηθῇ μετὰ γυναικὸς, κοίτην σπέρμα-
τος, καὶ αὕτη οἰκέτις n) διαπεφυλαγμένη ἀν-
θρώπῳ, καὶ αὕτη λύτροις ȣ̓ λελύτρωται, ἡ
ἐλευθερία ȣ̓κ ἐδόθη αὐτῇ, ἐπισκοπὴ o) ἔσαι
αὐτοῖς· ȣ̓κ ἀ * ἀποθανȣ̃νται, ὅτι ȣ̓κ ἠλευθε- *70
ρώθη· [21] καὶ προσάξει τῆς πλημμελείας αὐτȣ̃
τῷ κυρίῳ, παρὰ τὴν θύραν τῆς σκηνῆς τȣ̃ μαρ-
τυρίȣ, κριὸν πλημμελείας· [22] καὶ ἐξιλάσεται
περὶ αὐτȣ̃ ὁ ἱερεὺς, ἐν τῷ κριῷ τῆς πλημμελείας CH



c) καὶ τὸν μὴ πλησίον ȣ̓κ ἐν δικαιοσύνῃ κρινȣ̃μεν.
d) ὑπȣ́λως.
e) ȣ̓κ' ἐκ τȣ̃ ἔθνȣς τȣ̃ Ἡσαῦ, ὁ Ἰακὼβ ἦν, μετὰ δόλȣ λαβὼν τὴν εὐλογίαν αὐτȣ̃.
f) ἐρεῖ τίς ἐνθάδε, πλησίον εἶναι ȣ̓ πάντας, διὰ τὸ μὴ ἔλεγχε κακȣ̀ς, ἵνα μὴ μισήσωσιν σε.
g) τάχα διὰ τὰς προσπαθείας, πρόσκειται τὸ τῇ διανοίᾳ σȣ.
h) ȣ̓ στήσῃ ȣ̓δὲ παρατηρήσῃ. i) τηρήσεις.
k) εἰ μηνυτέον τοῖς ἔξω τȣ̃ λαȣ̃ ἡμῶν.
l) ἐντεῦθεν ἀναγέγραπται ἐν τῷ εὐαγγελίῳ ἡ ἐντολή.
m) κώλυμα, ἀσατανη.
n) δȣ́λη ἐπιεγγελμένη ἀνδρί. o) ὄνειδος ἔσαι αὐτῷ.

ἔναντι κυρίȣ, περὶ τῆς ἁμαρτίας αὐτȣ̃ ἧς ἥμαρ-
τεν, καὶ ἀφεθήσεται αὐτῷ ἡ ἁμαρτία αὐτȣ̃ ἐν
ᾗ ἥμαρτεν· [23] ὅτ' ἂν δὲ εἰσέλθητε εἰς τὴν γῆν
ἣν κύριος ὁ θεὸς ὑμῶν δίδωσιν ὑμῖν, καὶ κατα-
φυτεύσητε πᾶν ξύλον βρώσιμον, καὶ περικαθα-
ριεῖτε p) τὴν ἀκαθαρσίαν αὐτȣ̃· ὁ καρπὸς αὐ-
τȣ̃, τρία ἔτη ἔςαι ὑμῖν ἀπερικάθαρτος q), ȣ̓
βρωθήσεται· [24] καὶ τῷ ἔτει τῷ τετάρτῳ ἔςαι
πᾶς ὁ καρπὸς αὐτȣ̃, ἅγιος αἰνετὸς τῷ κυρίῳ·
[25] ἐν δὲ τῷ ἔτει τῷ πέμπτῳ, φάγεσθε τὸν
καρπὸν αὐτȣ̃· πρόσθεμα r) ὑμῖν τὰ γενή-
ματα αὐτȣ̃, ἐγὼ κύριος ὁ θεὸς ὑμῶν·
M [26] Μὴ ἔσθετε ἐπὶ τῶν ὀρέων, καὶ ȣ̓κ οἰωνιεῖσθε s)
ȣ̓δὲ ὀρνιθοσκοπήσεσθε· [27] ȣ̓ ποιήσετε t) σισοιν
ἐκ τῆς κόμης τῆς κεφαλῆς ὑμῶν· ȣ̓δὲ φθερεῖ-
τε τὴν ὄψιν τȣ̃ πώγωνος ὑμῶν· [28] καὶ ἐντομί-
δας ἐπὶ ψυχῇ ȣ̓ ποιήσετε ἐν τῷ σώματι ὑμῶν·
καὶ γράμματα ςικτὰ ȣ̓ ποιήσετε ἐν ὑμῖν, ἐγὼ
κύριος ὁ θεὸς ὑμῶν· [29] ȣ̓ βεβηλώσεις τὴν θυ-
γατέρα σȣ ἐκπορνεῦσαι αὐτὴν, καὶ ȣ̓κ ἐκπορνεύ-
σει ἡ γὴ, καὶ πλησθήσεται ἡ γὴ ἀνομίας u)
[30] τὰ σάββατά x) μȣ φυλάξασθε, καὶ ἀπὸ
τῶν ἁγίων μȣ φοβηθήσεσθε, ἐγὼ κύριος· [31] ȣ̓κ
ἐπακολȣθήσετε ἐγγαςριμύθοις y), καὶ τοῖς ἐπ-
αοιδοῖς z), ȣ̓ προσκολληθήσεσθε ἐκμιανθῆναι ἐν
αὐτοῖς.

p) ἀκροβυςιεῖτε τὴν ἀκροβυςίαν αὐτȣ̃.
q) ἀκρόβυςον.
r) κὰὶ συνάξετε ὑμῖν τὴν πρόσοδον αὐτȣ̃.
s) ΑΚ. ȣ̓ κληδονισθήσεσθαι.
t) ΘΕ. ȣ̓ κυκλώσετε τοφααθ' τῆς κεφαλῆς. ΣΥ. ȣ̓ περιξυρήσετε
κύκλῳ τὴν πρόσοψιν τῆς κεφαλῆς ὑμῶν.
u) ζέμμα ἐςιν.
x) ζητήσεις, διατὶ πολλάκις. y) μάντεις.
z) ὅτι ȣ̓ χρὴ δι' ἐπαοιδῶν θεραπεύεσθε.

αὐτοῖς, ἐγὼ κύριος ὁ θεὸς ὑμῶν· 32 ἀπὸ προσώπου
πολιοῦ a) ἐξαναστήσῃ, καὶ τιμήσεις πρόσωπον πρεσ-
βυτέρου b), καὶ φοβηθήσῃ τὸν θεόν σου, ἐγὼ κύ-
ριος ὁ θεὸς ὑμῶν· 33 ἐὰν δέ τις προσέλθῃ ὑμῖν
Προσήλυτος ἐν τῇ γῇ ὑμῶν, οὐ θλίψετε αὐτόν, 34 ὡς
ὁ αὐτόχθων ἐν ὑμῖν ἔσται, ὁ προσήλυτος c) ὁ
προσπορευόμενος d) πρὸς ὑμᾶς· καὶ ἀγαπή-
σεις e) αὐτὸν ὡς σεαυτὸν, ὅτι προσήλυτοι f)
ἐγενήθητε ἐν γῇ Αἰγύ*πτῳ, ἐγώ εἰμι κύριος ὁ *71
θεὸς ὑμῶν· 35 οὐ ποιήσετε ἄδικον ἐν κρίσει, ἐν
μέτροις καὶ ἐν σταθμίοις, καὶ ἐν ζυγοῖς· g)
36 ζυγὰ h) δίκαια, καὶ μέτρα δίκαια, καὶ χοῦς
δίκαιος ἔσται ὑμῖν, ἐγὼ κύριος ὁ θεὸς ὑμῶν, ὁ
ἐξαγαγὼν ὑμᾶς ἐκ γῆς Αἰγύπτου· 37 καὶ φυλάξατε
πάντα τὸν νόμον μου, καὶ πάντα τὰ προστάγμα-
τά μου, καὶ ποιήσετε αὐτὰ ἐγὼ κύριος ὁ θεὸς ὑμῶν·
XX. 1 καὶ ἐλάλησεν i) κύριος πρὸς Μωϋσῆν λέγων, ΜΑ
2 καὶ τοῖς υἱοῖς Ἰσραὴλ λαλήσεις· ἐάν τις ἀπὸ

 τῶν

a) πρεσβυτέρου. b) σοφοῦ.

c) εἰ προσήλυτοι οἱ υἱοὶ Ἰσραὴλ, οἱ τοῖς θείοις ἀρεσθέντες νόμοις, οὐχὶ δὲ οἱ μόνον παροικήσαντες αὐτοῖς προσήλυτοι, οἱ γενάμενοι ἐν γῇ αἰγύπτῳ, τοῖς αἰγυπτίοις ἠρέσθησαν νόμοις, διὸ καὶ δέονται, τοῦ οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ, εἰκὸς οὖν τὸ πάροικοι ἐγενήθητε ἐν γῇ αἰγύπτῳ, δηλοῦν, τὰ περὶ τῶν μὴ ἀκολουθησάντων τοῖς αἰγυπτίοις ἔθεσιν.

d) ὁ προσηλυτεύων.

e) ὁ γὰρ προσήλυτος γέγονε πλησίον.

f) γείωραι πάροικοι. g) ὑγροῖς.

h) λίθους δικαίους καὶ οἰφὶ δίκαιον.

i) ὅρα πόσ.. λέγαι περὶ τοῦ διδ... τος τοῦ σπέρματ... αὐτοῦ ἄρχοντι, θ.... τῳ φησιν θανατ.. σθω· τὸ ἔθνος τ.. ἐπὶ τῆς γῆς λιθοβ. λήσουσιν αὐτὸν ἐν ...θοις· καὶ ἑξῆς, ἐπ... σω τὸ πρόσωπόν μ.. ἐπὶ τὸν ἄνθρωπον ἐκεῖνο.. ἀπολῶ αὐτὸν ἐκ τ.. λαοῦ αὐτοῦ· οὗτος μὲν οὖν, οὐ μόνον.. πὸ

τοῦ

τῶν υἱῶν Ἰσραὴλ, ἢ τῶν προσγεγενημένων προσ-
ηλύτων ἐν Ἰσραὴλ, ὃς ἂν δῷ τȣ̃ σπέρματος αὐτȣ̃
ἄρχοντι k), θανάτῳ l) θανατȣ́σθω· τὸ ἔθνος
τὸ ἐπὶ τῆς γῆς, λιθοβολήσȣσιν αὐτὸν ἐν λίθοις.
3 καὶ ἐγὼ ἐπιςήσω τὸ πρόσωπόν μȣ ἐπὶ τὸν ἄν-
θρωπον ἐκεῖνον, καὶ ἀπολῶ αὐτὸν ἐκ τȣ̃ λαȣ̃
αὐτȣ̃, ὅτι τȣ̃ σπέρματος αὐτȣ̃ ἔδωκεν ἄρχοντι,
ἵνα μιάνῃ τὰ ἅγιά μȣ, καὶ βεβηλώσει τὸ ὄνο-
μα τῶν ἡγιασμένων μοι· 4 ἐὰν δὲ ὑπερόψει
ὑπερί-

τȣ̃ ἔθνȣς τῆς γ . . . λιθοβολεῖται, ἀλλ. . ἀπὸ θεȣ̃ ἀπόλλυτ. . ἡ δὲ παρακολȣθο . σα ψυχὴ ἐνγαςριμ . θοις, ἢ ἐπαοιδοῖς, ἀπὸ θεȣ̃ ἀπόλλυτα . . ȣ̓δὲν, ἀπὸ ἄλλȣ τινὸς παθȣ̃σα, ἄνθρωπος δὲ κακῶς πατέρα ἢ μητέρα εἰπὼν, θανάτῳ φησὶν θανατȣ́σθω, καὶ ἄλλο ȣ̓δέν· ὁμοίως δὲ καὶ ὁ μοιχεύων μετὰ τῆς μοιχευομένης, ἔτι δὲ ὁ τῇ μητρυιᾷ εἰσελθὼν μετ᾽ αὐτῆς πάσχει· τὰ δ᾽ αὐτὰ, καὶ ὁ μετὰ τῆς γυναικὸς τȣ̃ υἱȣ̃ κοιμηθεὶς, πάσχει μετὰ κἀκείνης· ȣ̃τοι δέ φησιν οἱ δύο ἠσεβήκασιν, εἶτα ὡς βδέλυγμα ποιήσαντες θανατȣ̃νται· ὁ μετὰ ἄρσενος κοιμηθεὶς, καὶ ὁ παῖς, ἐν πυρὶ δὲ κατακαίονται, μήτηρ καὶ θυγάτηρ μετὰ τȣ̀ς συγγεναμένȣς αὐταῖς, ὡς ἐπ᾽ ἀνομήματι, μετὰ τȣ̃το λέγεται ὅτι θανατȣ́σθω ὁ τετραπόδῳ συνελθὼν μετὰ καὶ τȣ̃ τετραπόδȣ· εἰ δὲ γυνὴ τετράποδι συνέλθοι, ἀποκτενεῖτε φησὶν ἀμφοτέρȣς· εἶτα ἢ ἀδελφὸς, ἢ ἀδελφὴ, συνέλθοι, ὄνειδος φησίν εἰσιν, ἐξολοθρευθήσονται ἐνώπιον υἱῶν γένȣς αὐτῶν· ἐξολοθρευθήσονται δὲ ἐκ τῆς γενεᾶς αὐτῶν, ὅτι ἐν ἀφέδρῳ συνελθὼν καὶ ἡ γυνή· ὁ δὲ τῇ θείᾳ εἰσελθὼν, τὴν ἁμαρτίαν ἀποίσεται· εἰ δὲ μετὰ τῆς συγγενȣ̃ς τίς γένοιτο ἄτεκνοι ἀποθανȣ̃νται· τὸ δὲ αὐτὸ πείσονται οἱ γενάμενοι μετὰ τῆς γυναικὸς τȣ̃ ἀδελφȣ̃, λιθοβολίσθωσαν δὲ καὶ ἐνγαςρίμυθοι καὶ ἐπαοιδοὶ ὡς ἔνοχοι· θυγάτηρ δὲ ἱερέως ἐκπορνεύσασα, ἐπὶ πυρὸς κατακαυθήσεται· εἶτα μετολίγα ὁ κύριος φησιν, ὅτι ἐὰν ἡ ἀκαθαρσία ἐν τῷ προσερχομένῳ πρὸς τὰ ἅγια ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη φησὶν αὐτῇ· ὅτι ȣ̓δὲ οἷς περιορῶσιν ἀνεκδίκητα τὰ παρανομȣ́μενα, ἀκίνδυνον ἐςὶν τȣ̃το.

k) τῷ μολοχ.

l) ἐντεῦθεν διδασκόμεθα τὰς ἐπὶ τοῖς ἁμαρτανομένοις κολάσεις ἑκάςȣ καταξίαν.

ὑπερίδωσιν, οἱ αὐτόχθονος τῆς γῆς τοῖς ὀφθαλ-
μοῖς αὐτῶν, ἀπὸ τοῦ ἀνθρώπου ἐκείνου ἐν τῷ δοῦ-
ναι αὐτὸν τοῦ σπέρματος αὐτοῦ ἄρχοντι τοῦ μὴ
ἀποκτεῖναι αὐτόν· 5 καὶ ἐπιστήσω τὸ πρόσωπόν
μου ἐπὶ τὸν ἄνθρωπον ἐκεῖνον, καὶ ἐπὶ τὴν συγ-
γένειαν αὐτοῦ, καὶ ἀπολῶ αὐτὸν, καὶ πάντας
τοὺς ὁμονοοῦντας αὐτῷ, ὥστε ἐκπορνεύειν αὐτοὺς εἰς
τοὺς ἄρχοντας, ἐκ τοῦ λαοῦ αὐτῶν· 6 καὶ ψυχὴ
ἣ ἂν ἐπακολουθήσῃ ἐγγαστριμύθοις, ἢ ἐπαοιδοῖς,
ὥστε ἐκπορνεῦσαι ὀπίσω αὐτῶν, ἐπιστήσω τὸ πρόσ-
ωπόν μου ἐπὶ τὴν ψυχὴν ἐκείνην, καὶ ἀπολῶ αὐ-
τὴν ἐκ τοῦ λαοῦ αὐτῆς· 7 καὶ ἔσεσθε ἅγιοι, ὅτι
ἅγιος ἐγὼ κύριος ὁ θεὸς ὑμῶν· 8 καὶ φυλάξε-
σθε τὰ προστάγματά μου, καὶ ποιήσετε αὐτά·
ἐγὼ κύριος ὁ ἁγιάζων ὑμᾶς· 9 ἐὰν ἄνθρωπος
ἄνθρωπος κακῶς εἴπῃ τὸν πατέρα αὐτοῦ, ἢ τὴν
μητέρα αὐτοῦ, θανάτῳ θανατούσθω· πατέρα αὐ-
τοῦ ἢ μητέρα αὐτοῦ κακῶς εἶπεν, ἔνοχος ἔσται·
10 ἄνθρωπος ἄνθρωπος, ὃς ἂν μοιχεύσηται γυ-
ναῖκα ἀνδρὸς, ἢ ὃς ἂν * μοιχεύσηται γυναῖκα *72
τοῦ πλησίον αὐτοῦ, θανάτῳ θανατούσθωσαν, ὁ
μοιχεύων καὶ ἡ μοιχευομένη· 11 καὶ ἐάν τις κοι-
μηθῇ μετὰ γυναικὸς τοῦ πατρὸς αὐτοῦ, ἀσχημο-
σύνην m) τοῦ πατρὸς αὐτοῦ ἀπεκάλυψεν, θανά-
τῳ θανατούσθωσαν ἀμφότεροι n), ἔνοχοί εἰσιν·
12 καὶ ἐάν τις κοιμηθῇ μετὰ νύμφης αὐτοῦ, θα-
νάτῳ θανατούσθωσαν ἀμφότεροι· ἠσεβήκασιν o),
ἔνοχοί εἰσιν· 13 καὶ ὃς ἂν κοιμηθῇ μετὰ ἄρσε-
νος κοίτην γυναικὸς, βδέλυγμα ἐποίησαν· ἀμ-
φότεροι θανάτῳ θανατούσθωσαν, ἔνοχοί εἰσιν·

 14 ὃς

m) αἰδῶ. n) αἵματα αὐτῶν ἐν αὐτοῖς.

o) ἀπηρημένον θαβελ ἐποίησαν.

14 ὃς ἂν λάβῃ γυναῖκα καὶ τὴν μητέρα αὐτῆς,
ἀνόμημά p) ἐστιν· ἐν πυρὶ κατακαύσουσιν αὐτὸν
καὶ αὐτάς· καὶ οὐκ ἔστιν ἀνομία ἐν ὑμῖν· 15 καὶ
ὃς ἂν δῷ κοιτασίαν αὐτοῦ ἐν τετράποδι, θανάτῳ
θανατούσθω, καὶ τὸ τετράπουν ἀποκτενεῖτε· 16 καὶ
γυνὴ ἥτις προσελεύσεται πρὸς πᾶν κτῆνος βιβα-
σθῆναι q) αὐτὴν ὑπ' αὐτοῦ, ἀποκτενεῖτε τὴν γυ-
ναῖκα καὶ τὸ κτῆνος r), θανάτῳ θανατούσθωσαν,
ἔνοχοί εἰσιν· 17 ὃς ἂν λάβῃ τὴν ἀδελφὴν αὐτοῦ
ἐκ πατρὸς αὐτοῦ, ἢ ἐκ μητρὸς αὐτοῦ, καὶ ἴδῃ τὴν
ἀσχημοσύνην αὐτῆς, καὶ αὐτὴ ἴδῃ τὴν ἀσχημο-
σύνην αὐτοῦ, ὄνειδός ἐστιν· ἐξολοθρευθήσονται
ἐνώπιον υἱῶν γένους αὐτῶν· ἀσχημοσύνην ἀδελ-
φῆς αὐτοῦ ἀπεκάλυψεν, ἁμαρτίαν αὐτοῦ λήψε-
ται· s) 18 καὶ ἀνὴρ ὃς ἂν κοιμηθῇ μετὰ γυ-
ναικὸς ἀποκαθημένης, καὶ ἀποκαλύψει τὴν ἀσχη-
μοσύνην αὐτῆς, τὴν πηγὴν t) αὐτῆς ἀπεκάλυ-
ψεν, καὶ αὐτὴ ἀπεκάλυψεν τὴν ῥύσιν τοῦ αἵμα-
τος αὐτῆς, ἐξολοθρευθήσονται ἀμφότεροι ἐκ τῆς
γενεᾶς αὐτῶν· 19 καὶ ἀσχημοσύνην ἀδελφῆς πα-
τρός σου, καὶ ἀδελφῆς μητρός σου οὐκ ἀποκαλύ-
ψεις· τὴν γὰρ οἰκειότητα u) ἀπεκάλυψεν ἁμαρ-
τίαν ἀποίσονται· x) 20 ὃς ἂν κοιμηθῇ μετὰ τῆς
συγγενοῦς y) αὐτοῦ, ἀσχημοσύνην τῆς συγγενείας
αὐτοῦ ἀπεκάλυψεν, ἄτεκνοι ἀποθανοῦνται· 21 καὶ
ἀνὴρ ὃς ἂν λάβῃ τὴν γυναῖκα τοῦ ἀδελφοῦ αὐτοῦ,
ἀκα-

p) ζέμμα πορνεία. q) συγγενέσθαι.
r) πῶς ἔνοχον τὸ κτῆνος ἁμαρτίᾳ.
s) κομιοῦνται. t) ῥύσιν.
u) ὅτι τὴν σάρκα αὐτῶν ἠσχημόνησεν, ἀνομίαν αὐτῶν ἀροῦσιν.
x) ἄτεκνοι ἀποθανοῦνται.
y) γυναικὸς θείου αὐτοῦ ἀσχημοσύνην τοῦ θείου αὐτοῦ ἀπεκάλυψεν, ἁμαρτίαν αὐτῶν λήψονται.

ἀκαθαρσία [z]) ἐςίν· ἀσχημοσύνην τȣ̃ ἀδελφȣ̃
αὐτȣ̃ ἀπεκάλυψεν, ἄτεκνοι [a]) * ἀποθανȣ̃νται·*73
22 καὶ φυλάξεσθε πάντα τὰ προστάγματά μȣ,
καὶ τὰ κρίματά μȣ, καὶ ποιήσετε αὐτά· καὶ ȣ̓
μὴ προσοχθίσῃ [b]) ὑμῖν ἡ γῆ, εἰς ἣν ἐγὼ εἰσά-
γω ὑμᾶς ἐκεῖ κατοικεῖν ἐπ' αὐτῆς· 23 καὶ ȣ̓χὶ
πορεύσεσθε τοῖς νομίμοις [c]) τῶν ἐθνῶν, ȣ̔̀ς ἐξα-
ποςέλλω ἀφ' ὑμῶν, ὅτι ταῦτα πάντα ἐποίησαν
καὶ ἐβδελυξάμην [d]) αὐτȣ̀ς· 24 καὶ εἶπα ὑμῖν·
ὑμεῖς κληρονομήσετε τὴν γῆν αὐτῶν· καὶ ἐγὼ
δώσω αὐτὴν ὑμῖν ἐν κτήσει· γῆ ἥτις ἐςὶν ῥέȣσα
γάλα καὶ μέλι· ἐγὼ κύριος ὁ θεὸς ὑμῶν, ὃς
διώρισα ὑμᾶς ἀπὸ πάντων τῶν ἐθνῶν, 25 καὶ
ἀφοριεῖτε [e]) ἑαυτȣ̀ς, ἀναμέσον τῶν κτηνῶν τῶν
καθαρῶν, καὶ ἀναμέσον τῶν κτηνῶν τῶν ἀκα-
θάρτων· καὶ ἀναμέσον τῶν πετεινῶν τῶν καθα-
ρῶν, καὶ τῶν ἀκαθάρτων· καὶ ȣ̓ βδελύξετε τὰς
ψυχὰς ὑμῶν ἐν τοῖς κτήνεσιν, καὶ ἐν τοῖς πετει-
νοῖς, καὶ ἐν πᾶσι τοῖς ἑρπετοῖς [f]) τῆς γῆς, ἃ ἐγὼ
ἀφώρισα ὑμῖν ἐν ἀκαθαρσίᾳ· 26 καὶ ἔσεσθέ μοι
ἅγιοι ὅτι ἐγὼ ἅγιός εἰμι κύριος ὁ θεὸς ὑμῶν, ὁ ἀφο-
ρίσας ὑμᾶς ἀπὸ πάντων τῶν ἐθνῶν εἶναι ἐμοί·
27 καὶ ἀνὴρ ἢ γυνὴ, ὃς ἂν γένηται αὐτῶν ἐγγαςρίμυ-
θος [g]), ἢ ἐπαοιδὸς, θανάτῳ θανατȣ́σθωσαν ἀμ-
φότεροι· λίθοις λιθοβολήσατε αὐτȣ̀ς, ἔνοχοί εἰσιν·



z) νεδδα ἔςιν μίαμα.
a) πῶς ἀληθὲς κατὰ τὸ ῥῆμα ἄτεκνοι ἀποθανȣ̃νται.
b) ἀποβάλῃ ἔξο... θρεύσει, ἡ γῆ πρ.. οχθίζει τοῖς ἀμ...
τάνȣσιν.
c) ἐν τοῖς ἠκριβ. σμένοις τȣ̃ ἔθνȣς.
d) ὠργίσθην. e) διὰ τȣ̃το καὶ περιτέμνονται.
f) οἷς ἐξέρπειν αδαμα.
g) τάχα καὶ παντὶ δαιμονίῳ, ἔνοχος ὁ δαιμονῶν.

ΛΕ XXI. [1] Καὶ εἶπεν κύριος πρὸς Μωϋσῆν λέγων· εἶπον
ΜΒ τοῖς ἱερεῦσιν τοῖς υἱοῖς Ἀαρὼν, καὶ ἐρεῖς πρὸς
αὐτούς· ἐν ταῖς ψυχαῖς οὐ μιανθήσονται ἐν τῷ
ἔθνει αὐτῶν, [2] ἀλλὴ ἐν τῷ οἰκείῳ τῷ ἔγγιστα
αὐτῶν ἐπὶ πατρὶ, καὶ ἐπὶ μητρὶ, καὶ ἐπὶ υἱοῖς
καὶ θυγατράσιν, ἐπ᾽ ἀδελφῷ, [3] καὶ ἐπ᾽ ἀδελ-
φῇ αὐτοῦ παρθένῳ τῇ ἐγγιζούσῃ αὐτῷ, τῇ μὴ
ἐκδεδομένῃ ἀνδρὶ, ἐπὶ τούτοις μιανθήσεται· [4] οὐ
μιανθήσεται ἐξάπινα ἐν τῷ λαῷ αὐτοῦ εἰς βε-
βήλωσιν αὐτοῦ· [5] καὶ φαλάκρωμα οὐ ξυρηθή-
σεσθε τὴν κεφαλὴν ἐπὶ νεκρῷ· καὶ τὴν ὄψιν τοῦ
πώγωνος οὐ ξυρήσονται· καὶ ἐπὶ τὰς σάρκας
αὐτῶν οὐ κατατεμοῦσιν ἐντομίδας, [6] ἅγιοι ἔσον-
ται τῷ θεῷ αὐτῶν, καὶ οὐ βεβηλώσουσιν τὸ ὄνο-
μα τοῦ θεοῦ αὐτῶν· τὰς γὰρ θυσίας κυρίου,
δῶρα τοῦ θεοῦ αὐτῶν αὐτοὶ προσφέρουσιν, καὶ
ἔσονται ἅγιοι· [7] γυναῖκα πόρνην h) καὶ βεβη-
*74 λωμένην, οὐ * λήψονται· γυναῖκα ἐκβεβλημένην
ὑπὸ ἀνδρὸς αὐτῆς, οὐ λήψονται, ἅγιός ἐστιν κυ-
ρίῳ τῷ θεῷ αὐτοῦ, [8] καὶ ἁγιάσεις αὐτόν· τὰ
δῶρα κυρίου τοῦ θεοῦ ὑμῶν, οὗτος προσφέρει, ἅγιος
ἔσται, ὅτι ἅγιος ἐγὼ κύριος ὁ ἁγιάζων αὐτούς·
ΛϚ [9] Καὶ θυγάτηρ ἀνθρώπου ἱερέως, ἐὰν βεβηλωθῇ τοῦ
CH ἐκπορνεῦσαι, τὸ ὄνομα τοῦ πατρὸς αὐτῆς, αὐτὴ
βεβηλοῖ, ἐπὶ πυρὸς κατακαυθήσεται· [10] καὶ ὁ
ἱερεὺς ὁ μέγας ἀπὸ τῶν ἀδελφῶν αὐτοῦ, τοῦ ἐπι-
κεχυμένου ἐπὶ τὴν κεφαλὴν αὐτοῦ τοῦ ἐλαίου τῆς
χρίσεως,

ΛΕ ΠΕΡΙ ΤΕΘΝΗΚΟΤΩΝ ΕΦ ΟΙC ΜΙΑΙΝΟΝΤΑΙ ΟΙ ΙΕΡΕΙC.

ΛΣ ΠΕΡΙ ΤΗC ΕΚΠΟΡΝΕΥΟΥCΗC ΘΥΓΑΤΡΟC ΙΕΡΕΩC.

h) ἐνδιηλαγμένη.

χρίσεως, τοῦ ἐλαίου τοῦ χριστοῦ, καὶ τετελειωμένου
τὰς χεῖρας αὐτοῦ ἐνδύσασθαι τὰ ἅγια· i) τὴν
κεφαλὴν οὐκ ἀποκιδαρώσει k), καὶ τὰ ἱμάτια
αὐτοῦ, οὐ διαῤῥήξει, 11 καὶ ἐπὶ πάσῃ ψυχῇ l) τε-
τελευτηκυίᾳ, οὐκ εἰσελεύσεται· ἐπὶ πατρὶ αὐτοῦ,
οὐδὲ ἐπὶ μητρὶ αὐτοῦ μιανθήσεται· 12 καὶ ἐκ τῶν
ἁγίων οὐκ ἐξελεύσεται, καὶ οὐ βεβηλώσει τὸ ὄνο-
μα τὸ ἡγιασμένον τοῦ θεοῦ αὐτοῦ, ὅτι τὸ ἅγιον
ἔλαιον τὸ χριστὸν τοῦ θεοῦ αὐτοῦ ἐπ' αὐτῷ m),
ἐγὼ κύριος·
13 Οὗτος γυναῖκα παρθένον, ἐκ τοῦ γένους αὐτοῦ λή-
ψεται· 14 χήραν δὲ καὶ ἐκβεβλημένην καὶ βε-
βηλωμένην, καὶ πόρνην, ταύτας οὐ λήψεται·
ἀλλὴ παρθένον ἐκ τοῦ γένους αὐτοῦ, λήψεται γυ-
ναῖκα· 15 καὶ οὐ βεβηλώσει τὸ σπέρμα αὐτοῦ ἐν
τῷ λαῷ αὐτοῦ, ἐγὼ κύριος ὁ ἁγιάζων αὐτόν·
16 Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν λέγων· 17 εἶπον ΛΖ
Ἀαρὼν λέγων· ἄνθρωπος ἐκ τοῦ γένους σου εἰς ΜΓ
τὰς γενεὰς ὑμῶν, ᾧ τινι ἐὰν n) ᾖ ἐν αὐτῷ
μῶμος, οὐ προσελεύσεται προσφέρειν τὰ δῶρα τοῦ
θεοῦ αὐτοῦ· 18 πᾶς ἄνθρωπος, ᾧ ἐὰν ᾖ ἐν αὐτῷ
μῶμος, οὐ προσελεύσεται ἄνθρωπος τυφλὸς ἢ
χωλὸς,

ΛΖ ΠΕΡΙ ΤΟΥ ΜΗ ΔΕΙΝ ΜΩΜΟΝ ΕΧΕΙΝ ΤΟΝ ΙΕΡΕΑ.

i) οἱ Λ. ἱμάτια. k) οὐκ ἀποκαλύψει.

l) πάσαις ψυχαῖς νεκραῖς.

m) ἐπεὶ γυνὴ δέδεται ἐφ' ὅσον χρόνον ζῇ ὁ ἀνὴρ αὐτῆς, ἡ ἐκβεβλημένη, οὐ κυρίως χήρα ζῶντος τοῦ ἀνδρός· πῶς οὖν Θημαρ ἡ τοῦ δάδ ἐχήρευσεν θυγάτηρ· οὐ γὰρ γεγάμητο ἵνα ἐκβεβλημένη λεχθῇ· οὐδὲ παρθένος ἐστιν ἡ διεφθαρμένη, οὐδὲ πόρνη· ἀκούσιον γὰρ ἡ πορνεία· πῶς οὖν ὀνομασθήναι αὐτὴν ἐχρὴν, ἢ χήραν.

n) τούτῳ ὅμοιόν ἐστιν, τὸ δεῖ τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι· κατὰ τοῦτο γνῶσιν καὶ σοφίαν ἐχέτω ὁ καθ' ἡμᾶς προσφέρων.

χωλὸς, ἢ κολοβόρριν, ἢ ὠτότμητος, 19 ἢ ἄνθρω-
πος ᾧ ἐὰν ᾖ ἐν αὐτῷ σύντριμμα χειρὸς, ἢ σύν-
τριμμα ποδὸς, 20 ἢ κυρτὸς, ἢ ἔφηλος o), ἢ
πτιλλὸς p), τοὺς ὀφθαλμοὺς· ἢ ἄνθρωπος ᾧ
ἐὰν ᾖ ἐν αὐτῷ ψώρα ἀγρία, ἢ λιχὴν, ἢ μο-
νόρχις q), 21 πᾶς ᾧ ἐστιν ἐν αὐτῷ μῶμος, ἐκ
τοῦ σπέρματος Ἀαρὼν τοῦ ἱερέως, οὐκ ἐγγιεῖ τοῦ
προσενεγκεῖν τὰς θυσίας κυρίῳ, ὅτι μῶμος ἐν
*75 αὐτῷ· τὰ δῶρα r) τοῦ θεοῦ αὐτοῦ οὐ προσ*ελεύ-
σεται προσενεγκεῖν, 22 τὰ δῶρα τοῦ θεοῦ αὐτοῦ
τὰ ἅγια τῶν ἁγίων· καὶ ἀπὸ τῶν ἁγίων φά-
γεται, 23 πλὴν πρὸς τὸ καταπέτασμα οὐ προσ-
ελεύσεται, καὶ πρὸς τὸ θυσιαστήριον οὐκ ἐγγιεῖ,
ὅτι μῶμον ἔχει, καὶ οὐ βεβηλώσει τὸ ἅγιον s)
τοῦ θεοῦ αὐτοῦ, ὅτι ἐγὼ κύριος ὁ ἁγιάζων αὐ-
τούς· 24 καὶ ἐλάλησεν Μωϋσῆς πρὸς Ἀαρὼν καὶ
τοὺς υἱοὺς αὐτοῦ, καὶ πρὸς πάντας τοὺς υἱοὺς Ἰσρα-
ΛΗ ήλ. XXII. 1 καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν
ΜΔ Λέγων· 2 εἶπον Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ, καὶ
προσεχέτωσαν t) ἀπὸ τῶν ἁγίων τῶν υἱῶν Ἰσρα-
ὴλ, καὶ οὐ βεβηλώσουσιν τὸ ὄνομα τοῦ ἁγίου μου
ὅσα αὐτοὶ ἁγιάζουσίν μοι ἐγὼ κύριος· 3 εἶπον
αὐτοῖς εἰς τὰς γενεὰς ὑμῶν, πᾶς ἄνθρωπος ὃς
ἂν προσέλθῃ ἀπὸ παντὸς τοῦ σπέρματος ὑμῶν
πρὸς τὰ ἅγια, ὅσα ἂν ἁγιάζωσιν οἱ υἱοὶ Ἰσραὴλ
τῷ κυρίῳ, καὶ ἡ ἀκαθαρσία αὐτοῦ ἐπ᾽ αὐτῷ,
ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἀπ᾽ ἐμοῦ, ἐγὼ
κύριος·

ΛΗ ΠΕΡΙ ΤΗΣ ΑΚΑΘΑΡΣΙΑΣ ΤΩΝ ΙΕΡΕΩΝ.

o) νάνος.
p) οἱ Λ. λεύκωμα, στρεβλός.
q) ὑστερῶν πνεῦμα.
r) τοὺς ἄρτους.
s) ὄνομα.
t) φυλασσέσθωσαν.

κύριος· 4 καὶ ἄνθρωπος ἐκ τȣ͂ σπέρματος Ἀα-
ρὼν τȣ͂ ἱερέως, καὶ ȣ῟τος λεπρὰ u) ἡ γονοῤῥυὴ,
τῶν ἁγίων ȣ̓κ ἔδεται ἕως ἂν καθαρισθῇ x), καὶ
ὁ ἁπτόμενος πάσης ἀκαθαρσίας ψυχῆς· ἢ ἄν-
θρωπος, ᾧ ἐὰν ἐξέλθῃ ἐξ αὐτȣ͂ κοίτη σπέρ-
ματος· 5 ἢ ὅϛις ἂν ἅψηται παντὸς ἑρπετȣ͂ ἀκα-
θάρτȣ, ὃ μιανεῖ αὐτόν· ἢ ἐπ᾽ ἀνθρώπῳ ἐν ᾧ
μιανεῖ αὐτὸν, κατὰ πᾶσαν ἀκαθαρσίαν αὐτȣ͂·
6 ψυχὴ ἥτις ἂν ἅψηται αὐτȣ͂, ἀκάθαρτος ἔϛαι
ἕως ἑσπέρας, ȣ̓κ ἔδεται ἀπὸ τῶν ἁγίων, ἐὰν μὴ
λȣ́σηται τὸ σῶμα αὐτȣ͂ ὕδατι, 7 καὶ δύῃ ὁ ἥλιος,
καὶ καθαρὸς ἔϛαι· καὶ τότε φάγεται ἀπὸ τῶν
ἁγίων, ὅτι ἄρτος y) αὐτȣ͂ ἐϛιν, 8 θνησιμαῖον
καὶ θηριάλωτον z) ȣ̓ φάγεται μιανθῆναι αὐτὸν
ἐν αὐτοῖς, ἐγὼ κύριος· 9 καὶ φυλάξονται τὰ φυ-
λάγματά μȣ, ἵνα μὴ λάβωσιν δι᾽ αὐτὰ ἁμαρ-
τίαν, καὶ ἀποθάνωσιν δι᾽ αὐτά· ἐὰν βεβηλώ-
σωσιν αὐτὰ, ἐγὼ κύριος ὁ ἁγιάζων αὐτȣ́ς·
10 καὶ πᾶς ἀλλογενὴς a) ȣ̓κ ἔδεται ἅγια· πάροικος
ἱερέως, ἢ μισθωτὸς b), ȣ̓κ ἔδεται ἅγια· 11 ἐὰν
δὲ ἱερεὺς κτήσηται ψυχὴν ἔγκτητον ἀργυρίȣ, ȣ῟τος
φάγεται τῶν ἄρτων αὐτȣ͂, καὶ οἱ οἰκογενεῖς αὐ-
τȣ͂, καὶ ȣ̓͂τοι φάγονται * τῶν ἄρτων αὐτȣ͂· 12 καὶ *76
θυγάτηρ ἀνθρώπȣ ἱερέως, ἐὰν γένηται ἀνδρὶ
ἀλλογενεῖ, αὕτη τῶν ἀπαρχῶν τῶν ἁγίων ȣ̓ φά-
γεται· 13 καὶ θυγάτηρ ἱερέως ἐὰν γένηται χήρα
ἐκβεβλημένη, σπέρμα δὲ μὴ ᾖ αὐτῇ, ἐπανα-
ϛρέψει

u) ἢ λεπρὸς, ἢ ῥέων.
x) μήποτε ταῦτα ἰσοδυναμεῖ, τὸ ἐσθίων τὸν ἄρτον κυρίȣ ἀναξίως, ἢ πίνων τὸ αἷμα αὐτȣ͂, κρῖμα ἑαυτῷ ἐσθίει καὶ πίνει.
y) τροφή.
z) ἀπεριμμένον.
a) ἀλλότριος.
b) ὅτι ȣ̓ δεῖ τὸν ἱερέα ἱερατεύειν τȣ͂ μισθȣ͂ αὐτȣ͂.

στρέψει ἐπὶ τὸν οἶκον τὸν πατρικὸν αὐτῆς, κατὰ
τὴν νεότητα αὐτῆς, ἀπὸ τῶν ἄρτων c) τοῦ πατρὸς
αὐτῆς φάγεται· καὶ πᾶς ἀλλογενὴς οὐ φάγεται
ϹΗ ἀπ᾽ αὐτῶν· 14 καὶ ἄνθρωπος ὃς ἂν φάγῃ
ἅγια κατ᾽ ἄγνοιαν, καὶ προσθήσει τὸ ἐπίπεμπτον
αὐτοῦ ἐπ᾽ αὐτὸ, καὶ δώσει τῷ ἱερεῖ τὸ ἅγιον· d)
15 καὶ οὐ βεβηλώσωσιν τὰ ἅγια τῶν υἱῶν Ἰσραὴλ,
ἃ αὐτοὶ ἀφαιροῦσιν τῷ κυρίῳ, 16 καὶ ἐπάξουσιν ἐφ᾽
ἑαυτοὺς ἀνομίαν πλημμελείας, ἐν τῷ ἐσθίειν αὐ-
τοὺς τὰ ἅγια αὐτῶν, ὅτι ἐγὼ κύριος ὁ ἁγιάζων
αὐτούς· 17 καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν
ΛΘ ΜΕ λέγων· 18 λάλησον Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ, καὶ
πάσῃ συναγωγῇ Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐτούς·
ἄνθρωπος ἄνθρωπος ἀπὸ τῶν υἱῶν Ἰσραὴλ, ἢ
τῶν προσηλύτων τῶν προσκειμένων ἐν Ἰσραὴλ, ὃς
ἂν προσενέγκῃ τὰ δῶρα αὐτοῦ κατὰ πᾶσαν ὁμο-
λογίαν e) αὐτῶν, ἢ κατὰ πᾶσαν αἵρεσιν f)
αὐτῶν, ὅσα ἂν προσενέγκωσιν τῷ κυρίῳ εἰς ὁλο-
καύτωμα, 19 δεκτὰ ὑμῶν, ἄρσεν ἄμωμα ἐκ τῶν
βουκολίων, καὶ ἐκ τῶν προβάτων, καὶ ἐκ τῶν αἰ-
γῶν, 20 πάντα ὅσα ἂν ἔχῃ μῶμον ἐν αὐτῷ,
οὐ προσάξουσιν κυρίῳ, διότι οὐ δεκτὸν ἔσται
ὑμῖν·

Μ 21 Καὶ ἄνθρωπος ὃς ἂν προσενέγκῃ τὰ δῶρα αὐτοῦ,
κατὰ πᾶσαν ὁμολογίαν αὐτῶν, ἢ κατὰ πᾶσαν
αἵρεσιν θυσίαν σωτηρίου τῷ κυρίῳ, διαστείλας
εὐχὴν

ΛΘ ΠΕΡΙ ΤΟΥ ΜΗ ΔΕΙΝ ΜΕΜΩΜΗΜΕΝΑ ΠΡΟΣΦΕΡΕΙΝ.

Μ ΠΕΡΙ ΤΩΝ ΠΡΟΣΦΕΡΟΜΕΝΩΝ ΖΩΩΝ.

c) ἁγίων. d) ἀργύριον.
e) ἐξωμοσίαν. f) θέλησιν.

εὐχὴν g), ἢ κατὰ αἵρεσιν, ἢ ἐν ταῖς ἑορταῖς ὑμῶν,
ἔκ τε τῶν βȣκολίων, ἢ ἐκ τῶν προβάτων, ἄμω-
μον ἔςαι εἰς δεκτόν· h) πᾶς μῶμος ȣ̓κ ἔςαι ἐν
αὐτῷ, 22 τυφλὸν ἢ συντετριμμένον i), ἢ γλωσ-
σότμητον, ἢ μυρμηκιῶντα, ἢ ψωραγριῶντα, ἢ
λιχῆνας ἔχοντα, ȣ̓ προσάξȣσιν ταῦτα τῷ Θεῷ,
καὶ εἰς κάρπωσιν ȣ̓ δώσετε ἀπ' αὐτῶν ἐπὶ * τὸ *77
θυσιαςήριον τῷ κυρίῳ· 23 καὶ μόσχον ἢ πρόβα-
τον, ὠτότμητον, ἢ κολοβόκερκον k), σφάγια l)
ποιήσεις αὐτὰ σεαυτῷ, εἰς δὲ εὐχήν σȣ ȣ̓ δεχθή-
σεται, 24 θλαδίαν m), καὶ ἐκτεθλιμμένον n),
καὶ ἐκτομίαν o), καὶ ἀπεσπασμένον, ȣ̓ προσ-
άξετε αὐτὰ τῷ κυρίῳ, καὶ ἐπὶ τῆς γῆς ὑμῶν ȣ̓
ποιήσετε· 25 καὶ ἐκ χειρὸς ἀλλογενȣ̃ς p) ȣ̓ προσ-
οίσετε τὰ δῶρα q) τȣ̃ Θεȣ̃ ὑμῶν· ἀπὸ πάντων
τȣ́των ὅτι φθάρματά ἐςιν ἐν αὐτοῖς, μῶμος ἐν
αὐτοῖς, ȣ̓ δεχθήσεται r) ταῦτα ὑμῖν·
26 Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν λέγων· 27 μό- ΜΑ
σχον ἢ πρόβατον, ἢ αἶγα, ὡς ἐὰν τεχθῇ, καὶ
ἔςαι ἑπτὰ ἡμέρας ὑπὸ τὴν μητέρα αὐτȣ̃· τῇ δὲ
ἡμέρᾳ s) τῇ ὀγδόῃ καὶ ἐπέκεινα, δεχθήσεται εἰς
δῶρα, κάρπωμα τῷ κυρίῳ· 28 καὶ μόσχον καὶ
πρόβατον, αὐτὴν, καὶ τὸ παιδίον αὐτῆς, ȣ̓ σφά-
ξετε ἐν ἡμέρᾳ μιᾷ· 29 ἐὰν δὲ θύσῃς θυσίαν, εὐ-
χὴν χαρμοσύνης t) κυρίῳ, εἰς δεκτὸν u) ὑμῖν
θύσετε

g) τȣ̃ θαυμαςῶσαι ὅρκον.
h) εἰς ἑκȣ́σιον.
i) ἄχρηςον.
k) κονδοκέρατον.
l) ἑκȣ́σιον.
m) σπάδοντα.
n) ΑΚ. ἐκκεκολαμμένον.
o) ΑΚ. κεκρυμμένον.
p) ὑιȣ̃ ἀλλοτρίȣ.
q) τὰ ἅγια.
r) ἑκȣσιασθήσεται.
s) εἰ ἄδεκτον μὲν τῇ ἡμέρᾳ τῇ ὀγδόῃ τὸ τεχθὲν, δεκτὸν δὲ τῇ ὀγδόῃ, τιμιωτέρα ἡ ὀγδόη τῆς ἑβδόμης.
t) αἰνέσεως.
u) τῇ βȣλήσει ὑμῶν·

θύσετε αὐτό· [30] τῇ ἡμέρᾳ ἐκείνῃ βρωθήσεται, ἐκ
ἀπολείψετε ἀπὸ τῶν κρεῶν εἰς τὸ πρωῒ, ἐγώ εἰμι
κύριος· [31] καὶ φυλάξετε τὰς ἐντολάς μȣ, καὶ
ποιήσετε αὐτὰς, ἐγὼ κύριος ὁ θεὸς ὑμῶν· [32] καὶ
ȣ̓ βεβηλώσητε τὸ ὄνομα τȣ̃ ἁγίȣ, καὶ ἁγιασθή-
σομαι ἐν μέσῳ τῶν υἱῶν Ἰσραὴλ, ἐγὼ κύριος ὁ
ἁγιάζων ὑμᾶς, [33] ὁ ἐξαγαγὼν ὑμᾶς ἐκ γῆς Αἰγύ-
ΜΑ πτȣ, ὥϛε εἶναι ὑμῶν θεὸς ἐγὼ κύριος·
ΜΖ XXIII. 1 Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν λέγων·
[2] λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐ-
τȣ́ς· αἱ ἑορταὶ κυρίȣ, ἃς καλέσετε αὐτὰς κλη-
τὰς ἁγίας, αὗται εἰσὶν ἑορταί μȣ· [3] ἓξ ἡμέρας
ποιήσεις ἔργα, τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ, σάββα-
τα x) ἀνάπαυσις, κλητὴ ἁγία τῷ κυρίῳ· πᾶν ἔρ-
γον ȣ̓ ποιήσετε· σάββατά ἐϛιν τῷ κυρίῳ ἐν πάσῃ
κατοικίᾳ ὑμῶν· [4] Αὗται αἱ ἑορταὶ τῷ κυρίῳ κληταὶ
ΜΒ Ἅγιαι, ἃς καλέσετε αὐτὰς ἐν τοῖς καιροῖς αὐτῶν·
[5] ἐν τῷ πρώτῳ μηνὶ ἐν τῇ τεσσαρεσκαιδεκάτῃ
ἡμέρᾳ τȣ̃ μηνὸς, ἀναμέσον τῶν ἑσπερινῶν, πά-
*78 σχα y) τῷ κυρίῳ· [6] καὶ * ἐν τῇ πεντεκαιδεκάτῃ
ἡμέρᾳ τȣ̃ μηνὸς τȣ́τȣ, ἑορτὴ τῶν ἀζύμων τῷ κυ-
ρίῳ· ἑπτὰ ἡμέρας ἄζυμα ἔδεσθε, [7] καὶ ἡ ἡμέρα
ἡ πρώτη, κλητὴ ἁγία ἔϛαι ὑμῖν· πᾶν ἔργον λα-
τρευτὸν z) ȣ̓ ποιήσετε· [8] καὶ προσάξετε ὁλοκαυ-
τώματα τῷ κυρίῳ, ἑπτὰ ἡμέρας· καὶ ἡ ἡμέρα
ἡ ἑβδόμη, κλητὴ ἁγία ἔϛαι ὑμῖν· πᾶν ἔργον
λατρευτὸν ȣ̓ ποιήσετε·

[9] Καὶ

ΜΑ ΠΕΡΙ ΕΟΡΤΩΝ.

ΜΒ ΠΕΡΙ ΤΗϹ ΕΟΡΤΗϹ ΤΟΥ ΠΑϹΧΑ ΚΑΙ ΤΗϹ ΕΟΡΤΗϹ ΤΩΝ ΕΒΔΟΜΑΔΩΝ.

x) σαββάτων ἑτοιμασία.

y) ἐπίβασις.

z) ἐργάσιμον.

9 Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν λέγων· 10 εἶπον ΜΓ
τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐτούς· ὅτ' ἂν ΜΗ
εἰσέλθητε εἰς τὴν γῆν, ἣν ἐγὼ δίδωμι ὑμῖν, καὶ
θερίζετε τὸν θερισμὸν αὐτῆς, καὶ οἴσετε δράχμα,
ἀπαρχὴν τοῦ θερισμοῦ ὑμῶν πρὸς τὸν ἱερέα· 11 καὶ
ἀνοίσει a) τὸ δράχμα ἔναντι κυρίου δεκτὸν b)
ὑμῖν τῇ ἐπαύριον c) τῆς πρώτης, ἀνοίσει αὐτὸ ὁ
ἱερεύς· 12 καὶ ποιήσετε ἐν τῇ ἡμέρᾳ ἐν ᾗ ἂν φέρητε
τὸ δράχμα πρόβατον d) ἄμωμον ἐνιαύσιον, εἰς
ὁλοκαύτωμα τῷ κυρίῳ· 13 καὶ τὴν θυσίαν αὐτοῦ,
δύο δέκατα σεμιδάλεως, ἀναπεποιημένης ἐν ἐλαίῳ
θυσία τῷ κυρίῳ, εἰς ὀσμὴν εὐωδίας κυρίῳ, καὶ
σπονδὴν αὐτοῦ τὸ τέταρτον τοῦ εἲν οἴνου 14 καὶ ἄρ-
τον, καὶ πεφρυγμένα e) χίδραν ἐλαίου φάγεσθε,
ἕως εἰς αὐτὴν τὴν ἡμέραν ταύτην, ἕως ἂν προσ-
ενέγκητε τὰ δῶρα τῷ θεῷ ὑμῶν νόμιμον αἰώ-
νιον εἰς τὰς γενεὰς ὑμῶν ἐν πάσῃ κατοικίᾳ
ὑμῶν· 15 καὶ ἀριθμήσεται ὑμῖν ἀπὸ
τῆς ἐπαύριον τῶν σαββάτων, ἀπὸ τῆς ἡμέρας ἧς ἂν ΜΔ
προσενέγκητε τὸ δράχμα τοῦ ἐπιθέματος f),
ἑπτὰ ἑβδομάδας g) ὁλοκλήρους ἀριθμήσεις, 16 ἕως
τῆς ἐπαύριον τῆς ἐσχάτης ἑβδομάδος, ἀριθμή-
σετε πεντήκοντα ἡμέρας, καὶ προσοίσετε θυσίαν
νέαν τῷ κυρίῳ 17 ἀπὸ τῆς κατοικίας ὑμῶν, προσ-
οίσετε ἄρτους ἐπίθεμα δύο ἄρτους, ἐκ δύο δεκάτων
σεμι-

ΜΓ ΠΕΡΙ ΤΟΥ ΔΡΑΧΜΑΤΟΣ.

ΜΔ ΠΕΡΙ ΠΕΝΤΗΚΟΣΤΗΣ.

a) ἀφοριεῖ. b) ἑκούσιον.
c) τῇ μετὰ τὸ σάββατον. d) ἀμνόν.
e) οἱ Λ. ἁπαλὰ καὶ λεπτά.
f) ἀφορίσματος. g) σάββατα ἄμωμα.

σεμιδάλεως, ἔςαι ὁ ἄρτος ὁ εἷς, ἐζυμωμένοι πε-
φθήσονται πρωτογενημάτων τῷ κυρίῳ· 18 καὶ
προσάξετε μετὰ τῶν ἄρτων, ἑπτὰ ἀμνȣ̀ς ἀμώ-
μȣς ἐνιαυσίȣς, καὶ μόσχον ἕνα ἐκ βȣκολίȣ, καὶ
*79 κριȣ̀ς δύο ἀμώμȣς, * καὶ ἔσονται ὁλοκαύτωμα
τῷ κυρίῳ· καὶ αἱ θυσίαι h) αὐτῶν καὶ αἱ σπον-
δαὶ αὐτῶν, θυσία, ὀσμὴν εὐωδίας i) τῷ κυρίῳ·
19 καὶ ποιήσετε χίμαῤῥον ἐξ αἰγῶν, ἕνα περὶ ἁμαρ-
τίας, καὶ δύο ἀμνȣ̀ς ἐνιαυσίȣς εἰς θυσίαν σωτη-
ρίȣ k) μετὰ τῶν ἄρτων τȣ͂ πρωτογενήματος,
20 καὶ ἐπιθήσει αὐτὰ ὁ ἱερεὺς μετὰ τῶν ἄρτων τȣ͂
πρωτογενήματος, ἐπίθεμα ἔναντι κυρίȣ, μετὰ
τῶν δύο ἀμνῶν· ἅγια ἔσονται τῷ κυρίῳ· τῷ ἱε-
ρεῖ τῷ προσφέροντι αὐτὰ, αὐτῷ ἔςαι· 21 καὶ κα-
λέσετε ταύτην τὴν ἡμέραν κλητήν· κλητὴ l) ἁγία
ἔςαι ὑμῖν· πᾶν ἔργον λατρευτὸν m) ȣ̓ ποιήσετε
ἐν αὐτῇ· νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν ἐν
πάσῃ κατοικίᾳ ὑμῶν· 22 καὶ ὅτ' ἂν θερίζητε τὸν
θερισμὸν τῆς γῆς ὑμῶν, ȣ̓ συντελέσετε τὸ λοι-
πὸν n) τȣ͂ θερισμȣ͂ τȣ͂ ἀγίȣ σȣ, ἐν τῷ θερίζειν
σε, καὶ τὰ ἀποπίπτοντα o) τȣ͂ θερισμȣ͂ σȣ, ȣ̓
συλλέξεις· τῷ πτωχῷ, καὶ τῷ προσηλύτῳ ὑπο-
λείψῃ p) αὐτὰ, ἐγὼ κύριος ὁ θεὸς ὑμῶν·
ΜΕ 23 Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν λέγων· 24 λά-
ΜΘ λησον τοῖς υἱοῖς Ἰσραὴλ λέγων· τȣ͂ μηνὸς τȣ͂
ἑβδόμȣ, μιᾷ q) τȣ͂ μηνὸς, ἔςαι ὑμῖν ἀνάπαυ-



ΜΕ ΠΕΡΙ ΤΗϹ ΕΟΡΤΗϹ ΤΩΝ ϹΑΛΠΙΓΓΩΝ.

h) καρπώσεις.
προσφοραί.
i) ἀναπαύσεως.
k) εἰρηνικῶν.
l) ἐν ἐγκρατείᾳ.
m) δȣλευτόν.
n) φαάθ.
o) συλλέγματα.
p) ἀφήσεις αὐτά.
q) πρώτη.

σις r) μνημόσυνον σαλπίγγων s), κλητὴ ἁγία
τῷ κυρίῳ· 25 πᾶν ἔργον λατρευτὸν οὐ ποιή-
σετε· καὶ προσάξετε ὁλοκαύτωμα τῷ κυ-
ρίῳ· 26 καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν ΜΣ
λέγων· 27 καὶ τῇ δεκάτῃ τοῦ μηνὸς τοῦ ἑβδόμου τούτου, Ν
ἡμέρα ἐξιλασμοῦ, κλητὴ ἁγία ἔσται ὑμῖν, καὶ τα-
πεινώσετε t) τὰς ψυχὰς ὑμῶν, καὶ προσάξετε
ὁλοκαυτώματα u) τῷ κυρίῳ· 28 πᾶν ἔργον οὐ
ποιήσετε ἐν x) αὐτῇ τῇ ἡμέρᾳ ταύτῃ· ἔστιν γὰρ
ἡμέρα ἐξιλασμοῦ αὕτη ὑμῖν ἐξιλάσασθαι περὶ
ὑμῶν, ἔναντι κυρίου τοῦ θεοῦ ὑμῶν· 29 πᾶσα
ψυχὴ ἥτις μὴ ταπεινωθήσεται y) ἐν αὐτῇ τῇ ἡμέ-
ρᾳ ταύτῃ, ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ αὐτῆς·
30 καὶ πᾶσα ψυχὴ ἥτις ποιήσει ἔργον ἐν αὐτῇ, τῇ
ἡμέρᾳ ταύτῃ, ἀπολεῖται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ
αὐτῆς· 31 πᾶν ἔργον οὐ ποιήσετε· νόμιμον αἰώ-
νιον εἰς τὰς γενεὰς ὑμῶν, ἐν πάσαις ταῖς κατοι-
κίαις ὑμῶν· 32 σάββατα σαββάτων ἔσται ὑμῖν·
καὶ ταπει*νώσετε τὰς ψυχὰς ὑμῶν, ἀπὸ ἐνά- *80
της τοῦ μηνὸς, ἀπὸ ἑσπέρας ἕως δεκάτης
τοῦ μηνὸς ἑσπέρας, σαββατιεῖτε σάββατα
ὑμῶν· 33 καὶ ἐλάλησεν κύριος πρὸς ΜΗ
Μωϋσῆν λέγων· 34 λάλησον τοῖς υἱοῖς Ἰσραὴλ λέ- ΜΖ
γων· τῇ πεντεκαιδεκάτῃ τοῦ μηνὸς τοῦ ἑβδόμου τού-
του, ἑορτὴ σκηνῶν ἑπτὰ ἡμέρας τῷ κυρίῳ· 35 καὶ
ἡ ἡμέρα ἡ πρώτη κλητὴ ἁγία: πᾶν ἔργον λα-



ΜΣ ΠΕΡΙ ΝΗCΤΕΙΑC.

ΜΖ ΠΕΡΙ ΤΗC ΕΟΡΤΗC ΤΩΝ CΚΗΝΩΝ.

r) σαββάτων. s) σαλπισμὸς εἰς ἀκοάς.
t) νηστεύσατε. u) πυρόν.
x) ἐν ἐγκρατείᾳ τῆς ἡμέρας ταύτης.
y) νηστεύσει ἐγκρατῶς.

τρευτὸν ȣ̓ ποιήσετε· [36] ἑπτὰ ἡμέρας προσάξετε
ὁλοκαύτωμα τῷ κυρίῳ, καὶ ἡ ἡμέρα ἡ ὀγδόη, κλη-
τὴ ἁγία ἔςαι ὑμῖν, καὶ προσάξετε ὁλοκαύτωμα
τῷ κυρίῳ, ἐξόδιόν z) ἐςιν· πᾶν ἔργον λατρευ-
τὸν ȣ̓ ποιήσετε· [37] αὗται αἱ ἑορταὶ κυρίῳ, ἃς
καλέσετε αὐτὰς, κλητὰς ἁγίας, ὥςε προσενέγ-
και καρπώματα τῷ κυρίῳ, ὁλοκαυτώματα καὶ
θυσίας αὐτῶν, καὶ σπονδὰς, τὸ καθ᾽ ἡμέραν εἰς
ἡμέραν· [38] πλὴν a) τῶν σαββάτων κυρίȣ, καὶ
πλὴν τῶν δομάτων ὑμῶν, καὶ πλὴν πασῶν τῶν
εὐχῶν b) ὑμῶν, καὶ πλὴν τῶν ἑκȣσίων ὑμῶν, ἃ
ἂν δώσετε τῷ κυρίῳ·
NA [39] Καὶ ἐν τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ τȣ͂ μηνὸς τȣ͂ ἑβδό-
μȣ τȣ́τȣ, ὅτ᾽ ἂν συντελέσητε τὰ γενήματα τῆς
γῆς, ἑορτάσετε τῷ κυρίῳ ἑπτὰ ἡμέρας· τῇ ἡμέ-
ρᾳ τῇ πρώτῃ ἀνάπαυσις, καὶ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ
ἀνάπαυσις· [40] καὶ λήψεσθε ἑαυτοῖς τῇ ἡμέρᾳ τῇ
πρώτῃ, καρπὸν ξύλȣ ὡραῖον· c) καὶ κάλλυν-
θρα φοινίκων, καὶ κλάδȣς ξύλȣ δασεῖς d), καὶ
ἰτέας, καὶ ἄγνȣ κλάδȣς ἐκ χειμάῤῥȣ· καὶ εὐ-
φρανθήσεσθε ἔναντι κυρίȣ τȣ͂ θεȣ͂ ὑμῶν, ἑπτὰ
ἡμέρας τȣ͂ ἐνιαυτȣ͂· [41] νόμιμον αἰώνιον εἰς τὰς γε-
νεὰς ὑμῶν· ἐν τῷ μηνὶ τῷ ἑβδόμῳ, ἑορτάσετε
αὐτήν: [42] ἐν σκηναῖς κατοικήσετε ἑπτὰ ἡμέρας·
πᾶς ὁ αὐτόχθων ἐν Ἰσραὴλ, κατοικήσȣσιν ἐν
σκηναῖς, [43] ὅπως ἴδωσιν αἱ γενεαὶ ὑμῶν, ὅτι ἐν
σκηναῖς κατῴκησα τȣ̀ς υἱȣ̀ς Ἰσραὴλ, ἐν τῷ ἐξα-
γαγεῖν με αὐτȣ̀ς ἐκ γῆς Αἰγύπτȣ, ἐγὼ κύριος ὁ
θεὸς

z) ἐπίσχεσις.
a) παρεκτός.
b) ἐξωμοσίων.
c) ἔνδοξον· δένδρȣ κιτρίν.
d) ἑλοκόμȣς.

θεὸς ὑμῶν· 44 καὶ ἐλάλησεν Μωϋσῆς τὰς ἑορτὰς
κυρίου τοῦ θεοῦ, τοῖς υἱοῖς Ἰσραήλ·
XXIIII. 1 Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσὴν λέγων· MH
2 ἔντειλαι τοῖς υἱοῖς Ἰσραὴλ, καὶ λαβέτωσάν σοι NB
ἔλαιον ἐλάϊνον καθαρὸν, κεκομ*μένον εἰς φῶς [e]), *81
καῦσαι [f]) λύχνον διὰ παντὸς, 3 ἔξωθεν τοῦ κατα-
πετάσματος ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου· καὶ καύ-
σουσιν αὐτὸν Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ, ἀφ᾽ ἑσπέ-
ρας ἕως πρωΐ ἐναντίον κυρίου ἐνδελεχῶς· [g]) νόμι-
μον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν· 4 ἐπὶ τῆς λυχ-
νίας τῆς καθαρᾶς καύσετε τοὺς λύχνους ἔναντι κυ-
ρίου ἕως εἰς τὸ πρωΐ.
5 Καὶ λήψεσθε σεμίδαλιν, καὶ ποιήσετε αὐτὴν δώδε- MΘ
κα ἄρτους [h]), δύο δεκάτων ἔσται ὁ ἄρτος [i]) ὁ εἷς·
6 καὶ ἐπιθήσετε αὐτοὺς δύο θέματα· ἓξ ἄρτους,
τὸ ἓν θέμα, ἐπὶ τὴν τράπεζαν τὴν καθαρὰν
ἔναντι κυρίου· 7 καὶ ἐπιθήσετε [k]) ἐπὶ τὸ θέμα,
λίβανον καθαρὸν καὶ ἅλα· καὶ ἔσονται οἱ ἄρτοι
εἰς ἀνάμνησιν προκείμενοι τῷ κυρίῳ· 8 τῇ ἡμέρᾳ
τῶν σαββάτων, προσθήσετε ἔναντι κυρίου διὰ παν-
τὸς παρὰ τῶν υἱῶν Ἰσραὴλ, διαθήκην αἰώ-
νιον· 9 καὶ ἔσται Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐ-
τοῦ, καὶ φάγονται αὐτὰ ἐν τόπῳ ἁγίῳ,
ἔστιν γὰρ ἅγια ἁγίων τοῦτο αὐτῶν ἀπὸ τῶν
θυσιαζομένων τῷ κυρίῳ, νόμιμον αἰώνιον·



10 Καὶ

MH ΠΕΡΙ ΤΟΥ ΕΛΑΙΟΥ ΤΟΥ ΦΩΤΟΣ.

MΘ ΠΕΡΙ ΤΩΝ ΑΡΤΩΝ ΤΗΣ ΠΡΟΘΕΣΕΩΣ.

e) φαύσιν.

f) χρήσιμα ταῦτα εἰς τὸ ἐκεῖνος ἦν ὁ λύχνος ὁ καιόμενος .. φαί-
νων, εἰρημένον .. πὸ τοῦ σωτῆρος περὶ Ἰωάννου.

g) διὰ παντός.

h) κολλυρίδας.

i) ἡ κολλύρα.

k) ἐπὶ τὴν σύνθεσιν.

N 10 Καὶ ἐξῆλθεν υἱὸς γυναικὸς Ἰσραηλίτιδος, καὶ οὗτος
ΝΓ ἦν υἱὸς Αἰγυπτίου ἐν τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἐμαχέ-
σαντο ἐν τῇ παρεμβολῇ, ὁ ἐκ τῆς Ἰσραηλίτιδος,
καὶ ὁ ἄνθρωπος ὁ Ἰσραηλίτης 11 καὶ ἐπονομά-
σας l) ὁ υἱὸς τῆς γυναικὸς τῆς Ἰσραηλίτιδος τὸ
ὄνομα κατηράσατο· m) καὶ ἤγαγον αὐτὸν πρὸς
Μωϋσῆν, καὶ τὸ ὄνομα τῆς μητρὸς αὐτοῦ Σαλω-
μεὶθ' n) θυγάτηρ Δαβρεὶ o) ἐκ τῆς φυλῆς
Δάν· 12 καὶ ἀπέθετο αὐτὸν εἰς φυλα-
κὴν διακρίναι p) αὐτὸν διὰ προστάγματος
κυρίου· 13 καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν
λέγων· 14 ἐξάγαγε τὸν καταρασάμενον ἔξω τῆς
παρεμβολῆς, καὶ ἐπιθήσουσιν πάντες οἱ ἀκούσαν-
τες τὰς χεῖρας αὐτῶν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ
λιθοβολήσουσιν αὐτὸν πᾶσα ἡ συναγωγή· 15 καὶ
τοῖς υἱοῖς Ἰσραὴλ, λαλήσεις λέγων πρὸς αὐτούς·
ἄνθρωπος ἄνθρωπος, ἐὰν καταράσητε q) θεὸν
αὐτοῦ, ἁμαρτίαν λήψεται· r) 16 ὀνομάζων s) δὲ
τὸ ὄνομα κυρίου, θανάτῳ θανατούσθω· λίθοις
*82 λιθοβολείτω αὐτὸν, * πᾶσα ἡ συναγωγὴ Ἰσρα-
ήλ· ἐάντε προσήλυτος, ἐάντε αὐτόχθων, ἐν τῷ
ὀνομάσαι αὐτὸν τὸ ὄνομα κυρίου, τελευτάτω·
17 καὶ ἄνθρωπος ὃς ἂν πατάξῃ πᾶσαν ψυχὴν ἀν-
θρώπου, καὶ ἀποθάνῃ, θανάτῳ θανατούσθω·
18 καὶ ὃς ἂν πατάξῃ κτῆνος καὶ ἀποθάνῃ, ἀποτι-
σάτω

N ΠΕΡΙ ΤΟΥ ΕΚ ΤΗϹ ΙϹΡΑΗΛΙΤΙΔΟϹ ΚΑΤ-
ΗΡΑϹΑΜΕΝΟΥ.

l) κατηράσατο. m) καὶ ἐνύβρισεν.
n) εἰρήνη μου. o) πεφημισμένος.
p) διαστεῖλαι αὐτὸν διὰ στόματος κυρίου, ἐπικρίναι αὐτοῖς ἐπίκρι-
σιν κυρίου καθυβρίσαντα.
q) καθυβρίσῃ. r) εἰσδέξηται.
s) καὶ ὅσα ἂν λυδορίσῃ.

σάτω ψυχὴν ἀντὶ ψυχῆς· 19 καὶ ἄν τις t) δῷ
μῶμον τῷ πλησίον ὡς ἐποίησεν αὐτῷ, ὡς αὕτως
ἀντιποιηθήσεται αὐτῷ· 20 σύντριμμα u), ἀντὶ
συντρίμματος· ὀφθαλμὸν, ἀντὶ ὀφθαλμȣ̃· ὀδόν-
τα, ἀντὶ ὀδόντος· καθότι ἂν δῷ μῶμον ἀνθρώ-
πῳ, ὕτως δώσεται αὐτῷ· 21 ὃς ἂν πατάξῃ ἄν-
θρωπον καὶ ἀποθάνῃ, θανάτῳ θανατȣ́σθω· 22 δι-
καίωσις x) μία ἔσαι τῷ προσηλύτῳ, καὶ τῷ
ἐγχωρίῳ, ὅτι ἐγὼ κύριος ὁ θεὸς ὑμῶν· 23 καὶ
ἐλάλησεν Μωϋσῆς τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἐξήγα-
γον τὸν καταρασάμενον y) ἔξω τῆς παρεμβολῆς,
καὶ ἐλιθοβόλησαν αὐτὸν λίθοις πᾶσα ἡ συναγω-
γή· καὶ οἱ υἱοὶ Ἰσραὴλ ἐποίησαν καθάπερ συνέ-
ταξεν κύριος τῷ Μωϋσῇ·
XXV. 1 Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν ἐν τῷ ὄρει ΝΑ ΝΔ
Σινὰ λέγων· 2 λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ
ἐρεῖς πρὸς αὐτȣ́ς· ὅτ' ἂν εἰσέλθητε εἰς τὴν γῆν,
ἣν ἐγὼ δίδωμι ὑμῖν καὶ ἀναπαύσεται ἡ γῆ z) ἣν
ἐγὼ δίδωμι ὑμῖν σάββατα τῷ κυρίῳ· 3 ἓξ ἔτη
σπερεῖς τὸν ἀγρόν σȣ, καὶ ἓξ ἔτη τεμεῖς τὴν ἄμ-
πελόν σȣ· καὶ συνάξεις τὸν καρπὸν a) αὐτῆς·
4 ἐν δὲ τῷ ἔτει τῷ ἑβδόμῳ, σάββατα ἀνάπαυσις
H 4 ἔσαι

ΝΑ ΠΕΡΙ ΤΟΥ CΑΒΒΑΤΙCΜΟΥ ΤΗC ΓΗC ΚΑΙ ΤΟΥ ΕΝΙΑΥΤΟΥ ΤΗC ΑΦΕCΕΩC.

t) ἐντεῦθεν εἰς τὸ εὐαγγέλιον Ματθαίȣ ἐλήφθη· καὶ ὕτε ἀπὸ ἐξόδȣ, ὕτε ἀπὸ δευτερονομίȣ· καὶ ἡ σύμφρασις δὲ ἐντεῦθεν μὲν συνᾴδει, ἐκεῖθεν δὲ ὔ.

u) κατέαγμα.

x) οἱ Λ. κρίσις
δίκη.

y) καθυβρίσαντα.

z) σαββατιεῖ ἡ γῆ σάββατον τῷ κυρίῳ.

a) τὰ γενήματα
τὴν πρόσοδον.

ἔσται τῇ γῇ, σάββατα τῷ κυρίῳ· τὸν ἀγρόν σου
οὐ σπερεῖς, καὶ τὴν ἄμπελόν σου οὐ τεμεῖς· 5 καὶ
τὰ αὐτόματα τὰ ἀναβαίνοντα τοῦ ἀγροῦ b) σου,
οὐκ ἐκθεριεῖς· καὶ τὴν σταφυλὴν τοῦ ἁγιάσματός c)
σου οὐκ ἐκτρυγήσεις, ἐνιαυτὸς ἀναπαύσεως ἔσται τῇ
γῇ· 6 καὶ ἔσται τὰ σάββατα d) τῆς γῆς, βρώ-
ματά e) σοι, καὶ τῷ παιδί σου, καὶ τῇ παιδίσκῃ
σου, καὶ τῷ μισθωτῷ σου, καὶ τῷ παροίκῳ τῷ
προσκειμένῳ f) πρὸς σὲ, 7 καὶ τοῖς κτήνεσίν σου,
καὶ τοῖς θηρίοις g) τοῖς ἐν τῇ γῇ σου, ἔσται πᾶν τὸ
γένημα αὐτοῦ εἰς βρῶσιν, 8 καὶ ἐξαριθμήσεις σε-
αυτῷ ἑπτὰ ἀναπαύσεις h) ἐτῶν, ἑπτὰ ἔτη
*83 ἑπτάκις * καὶ ἔσονταί σοι ἑπτὰ ἑβδομάδες ἐτῶν
ἐννέα καὶ τεσσεράκοντα ἔτη· 9 καὶ διαγγελεῖτε i)
σάλπιγγος φωνῇ ἐν πάσῃ τῇ γῇ ὑμῶν· τῷ μηνὶ
τῷ ἑβδόμῳ τῇ δεκάτῃ τοῦ μηνὸς τῇ ἡμέρᾳ τοῦ ἐξι-
λασμοῦ διαγγελεῖτε σάλπιγγι ἐν πάσῃ τῇ γῇ
ὑμῶν· 10 καὶ ἁγιάσετε τὸ ἔτος τὸ πεντηκοστὸν ἐνι-
αυτόν· καὶ διαβοήσετε k) ἄφεσιν ἐπὶ τῆς
γῆς πᾶσιν τοῖς κατοικοῦσιν αὐτήν· ἐνιαυτὸς
ἀφέσεως l), σημασία αὐτὴ ἔσται ὑμῖν· καὶ ἀπε-
λεύσεται ἕκαστος εἰς τὴν κτῆσιν αὐτοῦ, καὶ ἕκαστος
εἰς τὴν πατρίαν m) αὐτοῦ ἀπελεύσεσθε· 11 ἀφέ-
σεως σημασία αὐτὴ ἔσται ὑμῖν, τὸ ἔτος τὸ πεντη-
κοστὸν

b) τοῦ ἀμητοῦ.
c) τῆς ναζαραίας.
d) σάββατα διάληψις δ' ἀνάπαυσις.
e) εἰς βρῶσιν.
f) τῷ προσηλυτεύοντι.
g) ζώοις.
h) σάββατα.
i) παραβιβάσεις, κερατίνῃ.
k) καλέσετε δαρωρ.
l) ΘΕ. ιωβηλ. ΑΚ. παραφέρων.
m) γενεάν.

κοςὸν ἐνιαυτὸς ἔςαι ὑμῖν, ȣ̓ σπερεῖτε, ȣ̓δὲ μὴ ἀμή-
σετε τὰ αὐτόματα τὰ ἀναβαίνοντα αὐτῆς, καὶ ȣ̓
τρυγήσετε τὰ ἡγιασμένα n) αὐτῆς, 12 ἐπὶ ἀφέ-
σεως σημασία ἐςὶν ἅγιον ἔςαι ὑμῖν· ἀπὸ τῶν πε-
δίων φάγεσθε τὰ γενήματα αὐτῆς, 13 ἐν τῷ ἔτει
τῆς ἀφέσεως σημασίας αὐτῆς, ἐπανελεύσεται
ἕκαςος εἰς τὴν ἔγκτησιν αὐτȣ̃· 14 ἐὰν δὲ ἀποδῷ o)
πρᾶσιν τῷ πλησίον σȣ, ἐὰν καὶ κτήσῃ παρὰ τȣ̃
πλησίον σȣ, μὴ θλιβέτω p) ἄνθρωπος τὸν πλη-
σίον 15 κατὰ ἀριθμὸν ἐτῶν μετὰ τὴν σημασίαν q),
κτήσῃ παρὰ τȣ̃ πλησίον κατὰ ἀριθμὸν ἐνιαυτῶν
γενημάτων ἀποδώσεταί σοι· 16 καθότι ἂν πλεῖον
τῶν ἐτῶν πληθυνεῖ τὴν ἔγκτησιν αὐτȣ̃· καὶ καθ-
ότι r) ἂν ἔλαττον τῶν ἐτῶν ἐλαττονώσει τὴν
ἔγκτησιν αὐτȣ̃, ὅτι ἀριθμὸν γενημάτων αὐτὸς ἀπο-
δώσεταί σοι· 17 μὴ θλιβέτω ἄνθρωπος τὸν
πλησίον, καὶ φοβηθήσῃ κύριον τὸν θεόν σȣ, ἐγὼ
κύριος ὁ θεὸς ὑμῶν· 18 καὶ ποιήσετε πάντα τὰ δι-
καιώματά μȣ, καὶ πάσας τὰς κρίσεις μȣ· καὶ
φυλάξεσθε, καὶ ποιήσετε αὐτὰ, καὶ κατοικήσετε
ἐπὶ τῆς γῆς πεποιθότες, 19 καὶ δώσει ἡ γῆ τὰ
ἐκφόρια s) αὐτῆς, καὶ φάγεσθε εἰς πλησμονὴν,
καὶ κατοικήσετε πεποιθότες ἐπ᾽ αὐτῆς· 20 ἐὰν δὲ
λέγητε τί φαγόμεθα ἐν τῷ ἔτει τῷ ἑβδόμῳ τȣ́-
τῳ, * ἐὰν μὴ σπείρωμεν, καὶ μὴ συνάγωμεν τὰ *84
γενήματα ἡμῶν, 21 καὶ ἀποςελῶ t) τὴν εὐλογίαν
μȣ ὑμῖν, ἐν τῷ ἔτει τῷ ἕκτῳ, καὶ ποιήσει τὰ γε-
νήματα αὐτῆς εἰς τὰ τρία ἔτη· 22 καὶ σπερεῖτε τὸ



n) ναζιραία ἐλευθερία.
o) πωλήσῃς.
p) μὴ κακȣ́τω ἀνήρ.
q) τὸν ἰωβήλ.
r) ὁ ἀποδιδόμενος.
s) τὸν καρπόν.
t) ὁ περὶ προνοίας λόγος καὶ ἐντεῦθεν ἐςὶ δῆλος.

ἔτος τὸ ὄγδοον, καὶ φάγεσθε ἀπὸ τῶν γενημάτων
παλαιά, ἕως τȣ̃ ἔτȣς τȣ̃ ἐνάτȣ· ἕως ἂν ἔλθῃ τὰ
γενήματα αὐτῆς, φάγεσθε παλαιὰ παλαιῶν,
23 καὶ ἡ γῆ ȣ̓ πραθήσεται εἰς βεβαίωσιν· u) ἐμὴ
γάρ ἐστιν ἡ γῆ, διότι προσήλυτοι x), καὶ πάροικοι
ὑμεῖς ἐστὲ ἐναντίον ἐμȣ̃· 24 καὶ κατὰ πᾶσαν γῆν
κατασχέσεως ὑμῶν, λύτρα δώσετε τῆς γῆς· 25 ἐὰν
δὲ πένηται y) ὁ ἀδελφός σȣ ὁ μετὰ σȣ̃, καὶ
ἀπόδωται ἀπὸ τῆς κατασχέσεως αὐτȣ̃, καὶ ἔλθῃ
ὁ ἀγχιστεύων z) ὁ ἐγγίζων αὐτῷ, καὶ λυτρώσε-
ται τὴν πρᾶσιν τȣ̃ ἀδελφȣ̃ αὐτȣ̃· 26 ἐὰν δέ
τινι μὴ ᾖ ὁ ἀγχιστεύων καὶ εὐπορηθῇ τῇ χειρί, καὶ
εὑρεθῇ αὐτῷ τὸ ἱκανόν, λύτρα a) αὐτȣ̃, 27 καὶ
συλλογιεῖτε b) τὰ ἔτη τῆς πράσεως αὐτȣ̃, καὶ
ἀποδώσει ὃ παρέχει c) τῷ ἀνθρώπῳ, ᾧ ἀπέδοτο
αὐτὸν αὐτῷ, καὶ ἐπανελεύσεται εἰς τὴν κατάσχε-
σιν d) αὐτȣ̃· 28 ἐὰν δὲ μὴ εὐπορηθῇ ἡ χεὶρ
αὐτȣ̃ τὸ ἱκανὸν e), ὥστε ἀποδȣ̃ναι αὐτῷ, καὶ ἔσται
ἡ πρᾶσις τῷ κτησαμένῳ αὐτά, ἕως τȣ̃ ἔτȣς τῆς
ἀφέσεως· f) καὶ ἐξελεύσεται ἐν τῇ ἀφέσει, καὶ
ἐπανελεύσεται εἰς τὴν κατάσχεσιν αὐτȣ̃· 29 καὶ
ἐάν τις ἀπόδωται οἰκίαν οἰκητὴν, ἐν πόλει τετει-
χισμένῃ,

u) βεβαίωσιν.
x) πρὸς τȣ̀ς λέγοντας διὰ τὸν ἄνθρωπον τὴν κτίσιν γεγονέναι τὰ προσενεκταῖον.
y) AK. ἐκπέσῃ
ταπεινωθῇ.
z) λυτρωτὴς
συγγενής.
a) τῇ λυτρώσει.
b) ΨΗΦΙCΕΙ.
c) τὸ περισσόν.
d) κτῆσιν.
e) κατὰ τὸ ἴσον.
f) τȣ̃ ἰωβήλ.

χισμένη, καὶ ἔσται ἡ λύτρωσις αὐτῆς, ἕως πλη-
ρωθῇ ἐνιαυτὸς g) ἡμερῶν, ἔσται ἡ λύτρωσις αὐτῆς·
30 Ἐὰν μὴ λυτρωθῇ ἐνιαυτὸς ὅλος h), κυρωθήσεται ἡ
οἰκία ἡ οὖσα ἐν πόλει τῇ ἐχούσῃ τεῖχος, βεβαίως
τῷ κτησαμένῳ αὐτὴν εἰς τὰς γενεὰς αὐτοῦ, καὶ
οὐκ ἐξελεύσεται ἐν τῇ ἀφέσει· 31 αἱ δὲ οἰκίαι ἐν
ἐπαύλεσιν i), αἷς οὐκ ἔστιν αὐταῖς τεῖχος κύκλῳ,
πρὸς τὸν ἀγρὸν τῆς γῆς λογισθήσονται· λυτρωταὶ
διὰ παντὸς ἔσονται αὗται, καὶ ἐν τῇ ἀφέσει k)
ἐξελεύσονται· 32 καὶ αἱ πόλεις τῶν Λευϊτῶν οἰκίαι
τῶν πόλεων κατασχέσεως αὐτῶν· λυτρωταὶ διὰ
παντὸς ἔσονται τοῖς Λευΐταις· 33 καὶ * ὃς ἂν λυ- *85
τρώσηται παρὰ τῶν Λευϊτῶν, καὶ ἐξελεύσεται ἡ
διάπρασις οἰκιῶν πόλεως κατασχέσεως αὐτῶν ἐν
τῇ ἀφέσει l), ὅτι οἰκίαι τῶν πόλεων τῶν Λευϊτῶν,
κατάσχεσις αὐτῶν ἐν μέσῳ υἱῶν Ἰσραήλ· 34 καὶ
οἱ ἀγροὶ οἱ ἀφωρισμένοι ταῖς πόλεσιν αὐτῶν, οὐ
πραθήσονται· ὅτι κατάσχεσις αἰώνιος, τοῦτο αὐ-
τῶν ἐστιν· 35 ἐὰν δὲ πένηται m) ὁ ἀδελφός σου ὁ
μετὰ σοῦ, καὶ ἀδυνατήσῃ ταῖς χερσὶν παρὰ
σοί, ἀντιλήψῃ αὐτοῦ ὡς προσηλύτου, καὶ
παροίκου, καὶ ζήσεται ὁ ἀδελφός σου μετὰ σοῦ·
36 οὐ λήψῃ παρ᾽ αὐτοῦ τόκον, οὐδὲ ἐπὶ πλήθει n)
καὶ φοβηθήσῃ κύριον τὸν θεόν σου, ἐγὼ κύριος·
καὶ ζήσεται ὁ ἀδελφός σου μετὰ σοῦ· 37 τὸ ἀργύ-
ριόν σου οὐ δώσεις αὐτῷ ἐν τόκῳ, καὶ ἐπὶ πλεονασ-
μῷ οὐ δώσεις αὐτῷ, τὰ βρώματά σου· 38 ἐγὼ
κύριος

g) ἐνιαυτὸς ἡμερῶν τῇ πράσει αὐτῆς, ἡμερόδεκτον ἔσται ἡ λύτρωσις αὐτῆς.

h) ἄμωμος. i) ἐποικίοις.

k) τῷ ιωβηλ ἐλευθερίᾳ. l) τῷ ἰωβήλ.

m) ταπεινωθῇ. n) διπλασίασμα πλεονασμόν.

κύριος ὁ θεὸς ὑμῶν ὁ ἐξαγαγὼν ὑμᾶς ἐκ γῆς Αἰ-
γύπτȣ, τȣ͂ δȣ͂ναι ὑμῖν τὴν γῆν Χαναὰν, ὥςε εἶναι
ὑμῶν θεός· 39 ἐὰν δὲ ταπεινωθῇ o) ὁ ἀδελφός
σȣ παρὰ σοὶ καὶ πραθῇ σοι, ȣ̓ δȣλεύσει p) σοι
δȣλείαν οἰκέτȣ· 40 ὡς μισθωτὸς ἢ πάροικος, ἔςαι
σοι· ἕως τȣ͂ ἐνιαυτȣ͂ τῆς ἀφέσεως, ἐργᾶται παρὰ
σοί· 41 καὶ ἐξελεύσεται ἐν τῇ ἀφέσει, καὶ τὰ
τέκνα αὐτȣ͂ μετ᾽ αὐτȣ͂, καὶ ἀπελεύσεται εἰς τὴν
γενεὰν αὐτȣ͂, καὶ εἰς τὴν κατάσχεσιν τὴν πατρικὴν
αὐτȣ͂ ἀποδραμεῖται· 42 διότι οἰκέται q) μȣ
εἰσιν ȣ̔͂τοι, ȣ̔͂ς ἐξήγαγον ἐκ γῆς Αἰγύπτȣ· ȣ̓ πρα-
θήσεται ἐν πράσει οἰκέτȣ· 43 ȣ̓ κατατενεῖς r) αὐ-
τὸν ἐν μόχθῳ· καὶ φοβηθήσῃ κύριον τὸν θεόν
σȣ, 44 καὶ παῖς, καὶ παιδίσκη ὅσοι ἂν γένωνταί
σοι ἀπὸ τῶν ἐθνῶν, ὅσοι κύκλῳ σȣ εἰσὶν, ἀπ᾽ αὐτῶν
κτήσεσθε s) δȣ͂λον καὶ δȣ́λην· 45 καὶ ἀπὸ τῶν
υἱῶν τῶν παροίκων t) τῶν ὄντων ἐν ὑμῖν, ἀπὸ τȣ-
των κτήσεσθε· καὶ ἀπὸ τῶν συγγενῶν αὐτῶν ἐν
ὑμῖν, ὅσοι ἂν γένωνται ἐν τῇ γῇ ὑμῶν, ἔςω-
σαν ὑμῖν εἰς κατάσχεσιν, 46 καὶ καταμε-
*86 ριεῖτε αὐτȣ̀ς * τοῖς τέκνοις ὑμῶν μεθ᾽
ὑμᾶς· καὶ ἔσονται ὑμῖν κατόχιμοι εἰς τὸν
αἰῶνα· τῶν δὲ ἀδελφῶν ὑμῶν τῶν υἱῶν
Ἰσραὴλ, ἕκαςος τὸν ἀδελφὸν αὐτȣ͂, ȣ̓ κατατενεῖ
αὐτὸν u) ἐν τοῖς μόχθοις· 47 ἐὰν x) δὲ εὕρῃ
ἡ χεὶρ

o) ἐνδεήσῃ.
p) ȣ̓ κατεργάσεις αὐτὸν ἐργασίαν δȣλικήν.
q) δȣ͂λοι. r) ȣ̓ παιδεύσεις ἐν αὐτῷ ἐν ἐμπαιγμῷ.
s) πρίασθε.
t) ὅτι παροίκȣς τȣ̀ς μὴ κατὰ νόμον βιȣ͂ντας φησιν, ὄντας τῶν προσηλύτων.
u) τηρητέον ὅτι διαφέρει πάροικος καὶ προσήλυτος.
x) ἐὰν ἢ πλȣ́σιος.

ἡ χεὶρ τοῦ προσηλύτου, ἢ τοῦ παροίκου τοῦ παρὰ σοὶ,
καὶ ἀπορηθεὶς ὁ ἀδελφός σου, πραθῇ τῷ προση-
τῷ, ἢ τῷ παροίκῳ τῷ παρὰ σοὶ, ἢ ἐκ γενετῆς y)
προσηλύτῳ 48 μετὰ τὸ πραθῆναι αὐτῷ, λύτρωσις
ἔσαι αὐτῷ· εἷς τῶν ἀδελφῶν αὐτοῦ, λυτρώσεται
αὐτόν· 49 ἀδελφὸς πατρὸς αὐτοῦ, ἢ υἱὸς ἀδελφοῦ
πατρὸς αὐτοῦ, λυτρώσεται αὐτόν· ἢ ἀπὸ τῶν οἰ-
κιῶν τῶν σαρκῶν αὐτοῦ, ἐκ τῆς φυλῆς αὐτοῦ λυ-
τρώσεται αὐτόν· ἐὰν δὲ εὐπορηθεὶς ταῖς χερ-
σὶν, λυτρώσεται ἑαυτόν· 50 καὶ συλλογιεῖται
πρὸς τὸν κεκτημένον αὐτὸν, ἀπὸ τοῦ ἔτους οὗ ἀπέ-
δοτο z) ἑαυτὸν αὐτῷ, ἕως τοῦ ἐνιαυτοῦ τῆς ἀφέ-
σεως· καὶ ἔσαι τὸ ἀργύριον τῆς πράσεως αὐ-
τοῦ, ὡς ἡμέρα μισθίου· ἔτος ἐξ ἔτους a) ἔσαι μετ'
αὐτοῦ· 51 ἐὰν δέ τινι πλεῖον τῶν ἐτῶν ᾖ, πρὸς
ταῦτα ἀποδώσει τὰ λύτρα αὐτοῦ ἀπὸ τοῦ ἀργυρίου
τῆς πράσεως b) αὐτοῦ· 52 ἐὰν δὲ ὀλίγον κα-
ταλειφθῇ ἀπὸ τῶν ἐτῶν εἰς τὸν ἐνιαυτὸν τῆς ἀφέ-
σεως, καὶ συλλογιεῖται αὐτῷ κατὰ τὰ ἔτη αὐτοῦ,
καὶ ἀποδώσει τὰ λύτρα αὐτοῦ, 53 ὡς μισθωτὸς ἐνι-
αυτὸν ἐξ ἐνιαυτοῦ ἔσαι μετ' αὐτοῦ· οὐ κατατενεῖς c)
αὐτὸν ἐν μόχθῳ, ἐνώπιόν σου· 54 ἐὰν δὲ μὴ
λυτρῶται κατὰ ταῦτα, καὶ ἐξελεύσεται ἐν τῷ
ἔτει τῆς ἀφέσεως, αὐτὸς καὶ τὰ παιδία αὐτοῦ μετ'
αὐτοῦ, 55 ὅτι ἐμοὶ οἱ υἱοὶ Ἰσραὴλ οἰκέται· παῖδές
μου οὗτοί εἰσιν, οὓς ἐξήγαγον ἐκ γῆς Αἰγύπτου
XXVI. 1 ἐγὼ κύριος ὁ θεὸς ὑμῶν· οὐ ποιήσετε
ὑμῖν

y) ἢ ῥίζῃ συγγενείας, πρὸς αὐτοὺς, ἐν γένει φυλῆς.
z) ἐπράθη.
a) κατὰ τὰς ἡμέρας τοῦ μισθοῦ αὐτοῦ.
b) κτήσεως.
c) παιδεύσεις
κατεργάσεις.

ὑμῖν ἑαυτοῖς χειροποίητα d), οὐδὲ γλυπτὰ,
οὐδὲ στήλην e) ἀναστήσετε ὑμῖν· οὐδὲ λίθον
σκοπὸν στήσετε ἐν τῇ γῇ ὑμῶν, προσκυνῆσαι
αὐτῷ· ἐγὼ κύριος ὁ θεὸς ὑμῶν· 2 τὰ σάββα-
τά μου φυλάξεσθε, καὶ ἀπὸ τῶν ἁγίων μου φοβηθή-
σεσθε ἐγὼ κύριος· 3 ἐὰν τοῖς προστάγμασίν
NB — Μου * πορεύησθε, καὶ τὰς ἐντολάς μου φυλάσσησθε,
NE *87 καὶ ποιήσητε αὐτὰς, 4 καὶ δώσω τὸν ὑετὸν f)
ὑμῖν ἐν καιρῷ αὐτοῦ, καὶ ἡ γῆ δώσει τὰ γενήματα
αὐτῆς· καὶ τὰ ξύλα g) τῶν πεδίων, ἀποδώσει
τὸν καρπὸν αὐτῶν· 5 καὶ καταλήψεται ὑμῖν ὁ
ἀλοητὸς τὸν τρυγητόν· καὶ ὁ τρυγητὸς καταλή-
ψεται τὸν σπόρον· καὶ φάγεσθε τὸν ἄρτον ὑμῶν
εἰς πλησμονήν· καὶ κατοικήσετε μετὰ ἀσφα-
λείας h) ἐπὶ τῆς γῆς ὑμῶν, καὶ πόλεμος οὐ διε-
λεύσεται διὰ τῆς γῆς ὑμῶν· 6 καὶ δώσω i) εἰρή-
νην ἐν τῇ γῇ ὑμῶν· καὶ κοιμηθήσεσθε, καὶ οὐκ
ἔσται

**NB ΠΕΡΙ ΤΗΣ ΕΥΛΟΓΙΑΣ ΤΗΣ ΕΝ ΥΠΑΚΟΗ ΘΕΟΥ ΚΑΙ ΚΑΤΑΡΑΣ ΤΩΝ ΕΝ ΠΑΡΑΚΟΗ.**

d) απατας ελελείμ.

e) πῶς οὖν ὁ Ἰακὼβ ἔστησεν λίθον ἐφ' ὃν ἐκοιμήθη στήλην, καὶ ηὔξατο ἐκεῖ εὐχὴν χρίσας αὐτὸν ἐλαίῳ, ἅμα τηρῶν, ὅτι οὐκ αὐτῷ προσεκύνησεν, ὡς ἐνταῦθα ἀπηγόρευσεν, ἀλλ' ηὔξατο ἐκεῖ εὐχήν.

f) χειμῶνας. g) δένδρα.

h) βεβαῖος ὢν ὁ δίκαιος μετὰ ἀσφαλείας κατοικεῖ ἐπὶ τῆς γῆς, λαμβάνων τὴν εἰρήνην τοῦ θεοῦ, ἣν καὶ ὁ Χριστὸς δίδωσιν τοῖς ἰδίοις μαθηταῖς.

i) ὅσον μὲν τοῖς προστάγμασιν πορευόμεθα τοῦ θεοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ φυλάσσομεν, κοιμηθησόμεθα, καὶ οὐκ ἔσται ἡμᾶς ὁ ἐκφοβῶν καὶ οὔτε θηρία πονηρὰ ἔσται ἐπὶ τῆς γῆς ἡμῶν, οὔτε πόλεμος διελεύσεται δι' αὐτῆς· ἐὰν δὲ τὰ ἐναντία πράττωμεν ἐν τοῖς ἐναντίοις ἐσόμεθα.

ἔςαι ὑμᾶς ὁ ἐκφοβῶν· k) καὶ l) ἀπολῶ m)
θηρία πονηρὰ ἐκ τῆς γῆς ὑμῶν· καὶ πόλε-
μος n) ἐ διελεύσεται διὰ τῆς γῆς ὑμῶν· 7 καὶ
διώξεσθε τὲς ἐχθρὲς ὑμῶν· καὶ πεσἔνται ἐνώ-
πιον ὑμῶν φόνῳ· o) 8 καὶ διώξονται ἐξ ὑμῶν
πέντε ἑκατόν· καὶ ἑκατὸν ὑμῶν, διώξονται μυ-
ριάδας· καὶ πεσἔνται οἱ ἐχθροὶ ὑμῶν, ἐνώ-
πιον ὑμῶν μαχαίρα· 9 καὶ ἐπιβλέψω p) ἐφ'
ὑμᾶς καὶ αὐξανῶ q) ὑμᾶς, καὶ πληθυνῶ
ὑμᾶς· καὶ ςήσω τὴν διαθήκην r) μὲ μεθ'
ὑμῶν· 10 καὶ φάγεσθε παλαιὰ, καὶ παλαιὰ
παλαιῶν· καὶ παλαιὰ, ἐκ προσώπε νέων ἐξ-
οίσετε· 11 καὶ θήσω τὴν σκηνήν μὲ ἐν ὑμῖν,
καὶ ἐ βδελύξεται ἡ ψυχή μὲ ὑμᾶς· 12 καὶ
ἐμπεριπατήσω ἐν ὑμῖν· καὶ ἔσομαι ὑμῶν θεὸς,
καὶ ὑμεῖς ἔσεσθέ μοι λαός· 13 ἐγώ εἰμι κύ-
ριος ὁ θεὸς ὑμῶν, ὁ ἐξαγαγὼν ὑμᾶς ἐκ γῆς
Αἰγύπτε, ὄντων ὑμῶν δέλων· καὶ συνέτριψα
τὸν δεσμὸν τὲ ζυγὲ ὑμῶν, καὶ ἤγαγον ὑμᾶς
μετὰ παῤῥησίας· 14 ἐὰν δὲ μὴ ὑπακέ-
σητέ μὲ, μηδὲ ποιήσητε τὰ προστάγματά μὲ
ταῦτα, 15 ἀλλὰ ἀπειθήσητε αὐτοῖς, καὶ τοῖς
κρίμασίν μὲ προσοχθίσῃ ἡ ψυχὴ ὑμῶν· ὥςε
ὑμᾶς μὴ ποιεῖν πάσας τὰς ἐντολάς μὲ, ὥςε
διασκεδάσαι ὑμᾶς τὴν διαθήκην μὲ: 16 καὶ ἐγὼ
ποιήσω

k) ὁ μὲν ἅγιος ἐὰν κοιμηθῇ τὴν κοίμησιν τῆς ἐξόδε, τοιἔτός ἐςιν ὡς ἐκ εἶναι τὸν ἐκφοβήσαντα αὐτόν· ὁ δὲ ἀσεβὴς ἐκ τῶν ἐναντίων πείσεται· ἐκφοβήσεται γάρ.

l) τὰ πάθη ὑφ' ὧν ἀγριἐμεθα, ἢ αἱ δυνάμεις ὑφ' ὧν εἰς ὠμότητα ἐνεργἐμεθα, τὰ πονηρά ἐςιν θηρία.

m) καταπαύσω.

n) ῥομφαία.

o) εἰς ῥομφαίαν.

p) ἐπιλατεύσω ὑμῖν.

q) γονοποιήσω.

r) ςῆξιν.

ποιήσω ȣ̓́τως ὑμῖν· καὶ ἐπιϛήσω ἐφ᾽ ὑμᾶς τὴν
ἀπορίαν, τήν τε ψώραν καὶ τὸν ἴκτερον σφα-
*88 κελίζοντα τȣ̀ς ὀφθαλμȣ̀ς ὑμῶν· * καὶ τὴν ψυ-
χὴν ὑμῶν ἐκτήκȣσαν· καὶ σπερεῖτε s) διακε-
νῆς τὰ σπέρματα ὑμῶν, καὶ ἔδονται οἱ ὑπεναν-
τίοι ὑμῶν· 17 καὶ ἐπιϛήσω τὸ πρόσωπόν μȣ
ἐφ᾽ ὑμᾶς, καὶ πεσεῖσθε ἐναντίον τῶν ἐχθρῶν
ὑμῶν· καὶ διώξονται ὑμᾶς οἱ μισȣ̃ντες ὑμᾶς·
καὶ φεύξεσθε ἐν ȣ̓δενὸς διώκοντος ὑμᾶς· 18 καὶ
ἐὰν ἕως τȣ́τȣ μὴ ὑπακȣ́σητέ μȣ, καὶ
ΝΖ Προσθήσω παιδεῦσαι ὑμᾶς πληγαῖς, ἑπτάκις ἐπὶ
ταῖς ἁμαρτίαις ὑμῶν· 19 καὶ συντρίψω τὴν ὕβριν
τῆς ὑπερηφανείας ὑμῶν· καὶ θήσω τὸν ȣ̓ρα-
νὸν ὑμῖν ὡς σιδηρȣ̃ν, καὶ τὴν γῆν ὑμῶν, ὡσεὶ
χαλκῆν· 20 καὶ ἔϛαι εἰς κενὸν ἡ ἰσχὺς
ὑμῶν· καὶ ȣ̓ δώσει ἡ γῆ ὑμῶν τὸν
σπόρον t) αὐτῆς· καὶ τὸ ξύλον τȣ̃ ἀ-
γρȣ̃ ὑμῶν, ȣ̓ δώσει τὸν καρπὸν αὐτȣ̃·
ΝΗ 21 Καὶ ἐὰν μετὰ ταῦτα πορεύησθε πλάγιοι, καὶ
μὴ βȣ́λησθε ὑπακȣ́ειν μȣ, προσθήσω ὑμῖν πλη-
γὰς ἑπτὰ, κατὰ τὰς ἁμαρτίας ὑμῶν· 22 καὶ
ἀποϛελῶ ἐφ᾽ ὑμᾶς τὰ θηρία τὰ ἄγρια ἐπὶ τῆς
γῆς, καὶ κατέδεται ὑμᾶς, καὶ ἐξαναλώσει τὰ
κτήνη ὑμῶν· καὶ ὀλιγοϛȣ̀ς ποιήσει ὑμᾶς, καὶ ἔρη-
μοι ἔσονται αἱ ὁδοὶ ὑμῶν· 23 καὶ ἐὰν ἐπὶ τȣ́τοις
ΝΘ μὴ παιδευθῆτε, ἀλλὰ πορεύησθε πρός με πλά-
γιοι, 24 πορεύσομαι καὶ ἐγὼ μεθ᾽ ὑμῶν θυ-
μῷ u) πλαγίῳ· καὶ πατάξω ὑμᾶς, καὶ ἐγὼ
ἑπτάκις, ἀντὶ τῶν ἁμαρτιῶν ὑμῶν· 25 καὶ
ἐπάξω

s) ὁ εἰς τὴν σάρκα σπείρων, ἢ ὁ τὰ ψευδῆ διδάσκων, ἢ ἐπ᾽ ἀκάνθαις σπείρων, σπείρει διακενῆς.

t) τὰς προσόδȣς. u) ἐμφιλονίκως.

ἐπάξω ἐφ' ὑμᾶς μάχαιραν ἐκδικοῦσαν δίκην
διαθήκης· καὶ καταφεύξεσθε εἰς τὰς πόλεις
ὑμῶν, καὶ ἐξαποστελῶ θάνατον εἰς ὑμᾶς, καὶ
παραδοθήσεσθε εἰς χεῖρας τῶν ἐχθρῶν ὑμῶν
26 ἐν τῷ θλίψαι ὑμᾶς σίτῳ δι' ἄρτων·
καὶ πέψουσιν δέκα γυναῖκες τοὺς ἄρτους
ὑμῶν ἐν κριβάνῳ ἑνί· καὶ ἀποδώσουσιν τοὺς
ἄρτους ὑμῶν ἐν σταθμῷ, καὶ φάγε-
σθε, καὶ οὐ μὴ ἐμπλησθῆτε· 27 ἐὰν δὲ ἐπὶ
τούτοις μὴ ὑπακούσητέ μου, ἀλλὰ πορεύησθε πρός
με πλάγιοι, 28 καὶ αὐτὸς πορεύσομαι μεθ'
ὑμῶν ἐν θυμῷ πλαγίῳ x), καὶ παιδεύσω
ὑμᾶς ἐγὼ ἑπτάκις, κατὰ τὰς ἁμαρτίας ὑμῶν,
29 καὶ φάγεσθε τὰς σάρκας τῶν υἱῶν ὑμῶν·
καὶ τὰς σάρκας τῶν θυγατέρων ὑμῶν φάγε-
σθε· * 30 καὶ ἐρημώσω y) τὰς στήλας z) *89
ὑμῶν, καὶ ἐξολοθρεύσω τὰ ξύλινα χειροποίη-
τα a) ὑμῶν· καὶ θήσω τὰ κῶλα b) ὑμῶν
ἐπὶ τὰ κῶλα τῶν εἰδώλων ὑμῶν· καὶ προσ-
οχθιεῖ ἡ ψυχή μου ὑμῖν· 31 καὶ θήσω τὰς πό-
λεις ὑμῶν ἐρήμους· καὶ ἐξερημώσω τὰ ἅγια
ὑμῶν, καὶ οὐ μὴ ὀσφρανθῶ τῆς ὀσμῆς τῶν
θυσιῶν c) ὑμῶν· 32 καὶ ἐξερημώσω ἐγὼ τὴν γῆν
ὑμῶν· καὶ θαυμάσονται ἐπ' αὐτῆς οἱ ἐχθροὶ
ὑμῶν, οἱ ἐνοικοῦντες ἐν αὐτῇ· 33 καὶ διασπε-
ρῶ d) ὑμᾶς εἰς τὰ ἔθνη, καὶ ἐξαναλώσει
ὑμᾶς ἐπιπορευομένη ἡ μάχαιρα, καὶ ἔσται ἡ

γῆ

x) ἐναντιώσει. y) ἀπαρτήσω.
z) ὑψώματα. a) προηγουμένους.
b) μυσερῶν. c) τῆς εὐωδίας.
d) λικμήσω.

γὴ ὑμῶν ἔρημος, καὶ αἱ πόλεις ὑμῶν ἔσονται
ἔρημοι· 34 τότε [e]) εὐδοκήσει ἡ γὴ τὰ σάββα-
τα αὐτῆς πάσας τὰς ἡμέρας τῆς ἐρημώσεως
αὐτῆς· 35 καὶ ὑμεῖς ἔσεσθε ἐν τῇ γῇ τῶν ἐχ-
θρῶν ὑμῶν· τότε σαββατιεῖ ἡ γὴ, καὶ εὐδο-
κήσει τὰ σάββατα αὐτῆς πάσας τὰς ἡμέ-
ρας τῆς ἐρημώσεως αὐτῆς σαββατιεῖ, ἃ οὐκ
ἐσαββάτισεν ἐν τοῖς σαββάτοις ὑμῶν, ἡνίκα
κατῳκεῖτε αὐτήν· 36 καὶ τοῖς καταλειφθεῖσιν
ἐξ ὑμῶν, ἐπάξω δειλίαν [f]) εἰς τὴν καρδίαν
αὐτῶν, ἐν τῇ γῇ τῶν ἐχθρῶν αὐτῶν· καὶ
διώξαι αὐτοὺς φωνὴ φύλλου φερομένου· [g]) καὶ
φεύξονται ὡς φεύγοντες ἀπὸ πολέμου· καὶ πε-
σοῦνται οὐδενὸς διώκοντος· 37 καὶ ὑπερόψεται [h])
ὁ ἀδελφὸς τὸν ἀδελφὸν αὐτοῦ, ὡσεὶ ἐν πολέ-
μῳ, οὐδενὸς [i]) κατατρέχοντος· καὶ οὐ δυνή-
σεσθε ἀντιστῆναι τοῖς ἐχθροῖς ὑμῶν, 38 καὶ ἀπο-
λεῖσθε ἐν τοῖς ἔθνεσιν· καὶ κατέδεται ὑμᾶς
ἡ γὴ τῶν ἐχθρῶν ὑμῶν· 39 καὶ οἱ καταλει-
φθέντες ἀφ᾽ ὑμῶν, καταφθαρήσονται διὰ τὰς
ἁμαρτίας αὐτῶν· καὶ διὰ τὰς ἁμαρτίας τῶν
πατέρων αὐτῶν, ἐν τῇ γῇ τῶν ἐχθρῶν αὐτῶν
τακήσονται· 40 καὶ ἐξαγορεύσουσιν [k]) τὰς ἁμαρ-
τίας αὐτῶν, καὶ τὰς ἁμαρτίας τῶν πατέρων
αὐτῶν, ὅτι παρέβησαν καὶ ὑπερεῖδόν με· καὶ
ὅτι

e) ὅτι ἐν ἀρεταῖς εἴρηται τὸ εὐδοκήσει ἡ γὴ τὰ σάββατα αὐτῆς, καὶ τὰ ἑξῆς περὶ σαββατισμοῦ αὐτῆς.

f) ἁπαλότητα.

g) ἐξωθουμένου.

h) προσκόψουσιν ἕκαστος πρὸς τὸν ἀδελφὸν αὐτοῦ.

i) καὶ ὁ διώκων οὐκ ἔστιν.

k) μετανοήσουσιν.

ὅτι ἐπορεύθησαν ἐναντίον μȣ πλάγιοι· 41 καὶ
ἐγὼ ἐπορεύθην μετ᾽ αὐτῶν, ἐν θυμῷ πλαγίῳ·
καὶ ἀπολῶ αὐτȣ̀ς ἐν τῇ γῇ τῶν ἐχθρῶν αὐ-
τῶν· τότε ἐντρα*πήσεται ἡ καρδία αὐτῶν ἡ*90
ἀπερίτμητος· l) καὶ τότε εὐδοκήσȣσιν m) τὰς
ἁμαρτίας αὐτῶν, 42 καὶ μνησθήσομαι τῆς δια-
θήκης Ἰακὼβ καὶ τῆς διαθήκης Ἰσαὰκ, καὶ
τῆς διαθήκης Ἀβραὰμ μνησθήσομαι· 43 καὶ
τῆς γῆς μνησθήσομαι, καὶ ἐγκαταλειφθήσεται
ἡ γὴ ἀπ᾽ αὐτῶν· τότε προσδέξεται ἡ γὴ τὰ
σάββατα αὐτῆς ἐν τῷ ἐρημωθῆναι αὐτὴν δι᾽
αὐτȣ̀ς· καὶ αὐτοὶ προσδέξονται τὰς ἑαυ-
τῶν ἀνομίας, ἀνθ᾽ ὧν τὰ κρίματά μȣ ὑπερεῖ-
δον, καὶ τοῖς προστάγμασίν μȣ προσώχθισαν
τῇ ψυχῇ αὐτῶν· 44 καὶ ȣ̓δ᾽ ὡς ὄντων αὐτῶν
ἐν τῇ γῇ, τῶν ἐχθρῶν αὐτῶν, ȣ̓χ ὑπερεῖδον
αὐτȣ̀ς, ȣ̓δὲ προσώχθισα αὐτοῖς, ὥστε ἐξανα-
λῶσαι αὐτȣ̀ς τȣ̃ διασκεδάσαι τὴν διαθήκην μȣ
τὴν πρὸς αὐτȣ̀ς, ἐγώ εἰμι κύριος ὁ θεὸς αὐ-
τῶν· 45 καὶ μνησθήσομαι διαθήκης αὐτῶν
προτέρας, ὅτε ἐξήγαγον αὐτȣ̀ς ἐκ γῆς Αἰγύ-
πτȣ, ἐξ οἴκȣ δȣλείας ἐναντίον τῶν ἐθνῶν τȣ̃
εἶναι αὐτῶν θεὸς, ἐγὼ κύριος· 46 ταῦτα τὰ
δικαιώματα, καὶ τὰ κρίματα, καὶ τὰ προσ-
τάγματα, καὶ ὁ νόμος ὃν ἔδωκεν κύριος,
ἀναμέσον αὐτȣ̃, καὶ ἀναμέσον τῶν υἱῶν
Ἰσραὴλ, ἐν τῷ ὄρει Σινὰ ἐν χειρὶ Μωϋσῆ·
XXVII. 1 Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν λέγων· ΝΔ / ΞΑ
2 λάλη-



ΝΔ ΠΕΡΙ ΤΩΝ ΚΑΤΕΥΧΗΝ ΣΥΝΤΙΜΩΜΕΝΩΝ.

l) ἀκρόβυστος. m) ἱλάσονται.

2 λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐτούς·
ἄνθρωπος ὃς ἂν εὔξηται n) εὐχὴν, ὥστε τι-
μὴν o) τῆς ψυχῆς αὐτοῦ τῷ κυρίῳ, 3 ἔσται ἡ
τιμὴ τοῦ ἄρσενος ἀπὸ εἰκοσαετοῦς ἕως ἑξήκοντα
ἐτοῦς ἔσται αὐτοῦ ἡ τιμὴ, πεντήκοντα δίδραχμα
ἀργυρίου τῷ σταθμῷ τῷ ἁγίῳ· 4 τῆς δὲ θη-
λείας ἔσται ἡ συντίμησις τριάκοντα δίδραχμα·
5 ἐὰν δὲ ἀπὸ πενταετοῦς ἕως εἴκοσι ἐτῶν, ἔσται
ἡ τιμὴ τοῦ ἄρσενος εἴκοσι δίδραχμα· τῆς δὲ
θηλείας δέκα δίδραχμα, 6 ἀπὸ δὲ μηνιαίου
ἕως πενταετοῦς, ἔσται ἡ τιμὴ τοῦ ἄρσενος, πέντε
δίδραχμα ἀργυρίου· τῆς δὲ θηλείας, τρία δί-
δραχμα ἀργυρίου· 7 ἐὰν δὲ ἀπὸ ἑξή-
κοντα ἐτῶν καὶ ἐπάνω, ἐὰν μὲν ἄρσεν ᾖ,
*91 ἔσται ἡ τιμὴ αὐτοῦ, πεντεκαίδεκα * δίδραχμα
ἀργυρίου, τῆς δὲ θηλείας δέκα δίδραχμα· 8 ἐὰν
δὲ ταπεινὸς p) ᾖ τῇ τιμῇ, στήσεται ἐναντίον τοῦ
ἱερέως, καὶ τιμήσεται αὐτὸν ὁ ἱερεὺς καθάπερ
ἰσχύει ἡ χεὶρ τοῦ εὐξαμένου, οὕτως τιμήσεται
αὐτὸν ὁ ἱερεύς· 9 ἐὰν δὲ ἀπὸ τῶν κτηνῶν τῶν
προσφερομένων ἀπ᾽ αὐτῶν, δῶρον τῷ κυρίῳ·
ὃς ἂν δῷ ἀπὸ τούτων τῷ κυρίῳ, ἔσται ἅγιον·
10 οὐκ ἀλλάξει αὐτὸ καλὸν πονηρῷ, οὐδὲ πονη-
ρὸν καλῷ· ἐὰν δὲ ἀλλάσσων ἀλλάξῃ q) αὐ-
τὸ, κτῆνος κτήνει ἔσται αὐτὸ· καὶ ἄλλαγμα,
ἅγια· 11 ἐὰν δὲ πᾶν κτῆνος ἀκάθαρτον ἀφ᾽
ὧν οὐ προσφέρεται ἀπ᾽ αὐτῶν δῶρον τῷ κυρίῳ,
στήσει τὸ κτῆνος ἐναντίον τοῦ ἱερέως, 12 καὶ τι-
μήσεται

n) θαυμαστώσῃ.
o) τάξασθαι ἐν διατιμήσει σου ψυχῶν.
p) ἐλάσσων, ἢ τῆς διατιμήσεως.
q) ἐπιλέξηται.

μήσεται αὐτὸ ὁ ἱερεὺς, ἀναμέσον καλȣ̃, καὶ
ἀναμέσον πονηρȣ̃· καὶ καθ' ὅτι ἂν τιμήσε-
ται αὐτὸ ὁ ἱερεὺς, ȣ̋τω ϛήσεται· [13] ἐὰν δὲ
λυτρȣ́μενος, λυτρώσηται αὐτὸ, προσθήσει τὸ ἐπί-
πεμπτον, πρὸς τὴν τιμὴν r) αὐτȣ̃· [14] καὶ ἄν-
θρωπος ὃς ἂν ἁγιάσῃ τὴν οἰκίαν αὐτȣ̃, ἁγίαν
τῷ κυρίῳ· καὶ τιμήσεται αὐτὴν ὁ ἱερεὺς, ἀναμέ-
σον καλῆς, καὶ ἀναμέσον πονηρᾶς· ὡς ἂν τιμήσηται
αὐτὴν ὁ ἱερεὺς, ȣ̋τω ςαθήσεται· [15] ἐὰν δὲ ὁ
ἁγιάσας αὐτὴν, λυτρῶται τὴν οἰκίαν αὐτȣ̃, προ-
σθήσει ἐπ' αὐτὸ τὸ ἐπίπεμπτον τȣ̃ ἀργυρίȣ τῆς
τιμῆς, καὶ ἔςαι αὐτῷ· [16] ἐὰν δὲ ἀπὸ τȣ̃
ἀγρȣ̃ s) τῆς κατασχέσεως αὐτȣ̃, ἁγιάσει ἄν-
θρωπος τῷ κυρίῳ· καὶ ἔςαι ἡ τιμὴ κατὰ
τὸν σπόρον t) αὐτȣ̃, κόρȣ u) κριθῶν πεντή-
κοντα δίδραχμα ἀργυρίȣ· [17] ἐὰν δὲ ἀπὸ τȣ̃ ἐνι-
αυτȣ̃ τȣ̃ τῆς ἀφέσεως x) ἁγιάσῃ τὸν ἀγρὸν
αὐτȣ̃, κατὰ τὴν τιμὴν αὐτȣ̃ ϛήσεται· [18] ἐὰν
δὲ ἔσχατον μετὰ τὴν ἄφεσιν ἁγιάσῃ τὸν ἀγρὸν
αὐτȣ̃, προσλογιεῖται y) αὐτῷ ὁ ἱερεὺς τὸ ἀρ-
γύριον ἐπὶ τὰ ἔτη τὰ ἐπίλοιπα, ἕως εἰς τὸν
ἐνιαυτὸν τῆς ἀφέσεως· καὶ ἀνθυφαιρεθήσεται
ἀπὸ τῆς συντιμήσεως αὐτȣ̃· [19] καὶ ἐὰν λυτρῶ-
ται τὸν ἀγρὸν ὁ ἁγιάσας αὐτὸν, προσθήσει τὸ
ἐπίπεμπτον τȣ̃ ἀργυρίȣ πρὸς τὴν τιμὴν αὐ*τȣ̃,*92
καὶ ἔςαι αὐτῷ· [20] ἐὰν δὲ μὴ λυτρῶται τὸν
ἀγρὸν, καὶ ἀπόδωται τὸν ἀγρὸν ἀνθρώπῳ ἑτέ-



r) ἐπὶ τῇ διατιμήσει.

s) χώρας. t) πρόσοδον.

u) γομορ κριθῆς πεντήκοντα σίκλων.

x) τȣ̃ ἰωβήλ'.

y) κατὰ ἀναλογίαν τῶν ἐτῶν τῶν ὑποληφθέντων.

ρῳ· οὐκέτι μὴ λυτρώσητε αὐτόν· [21] ἀλλ' ἔσται
ὁ ἀγρὸς ἐξεληλυθυίας τῆς ἀφέσεως, ἅγιος αἰ-
νετὸς τῷ κυρίῳ· ὥσπερ ἡ γὴ z) ἡ ἀφωρισμέ-
νη τῷ ἱερεῖ ἔσται κατάσχεσις αὐτοῦ· [22] ἐὰν
δὲ ἀπὸ τοῦ ἀγροῦ, οὗ κέκτηται ὃς οὐκ ἔστιν ἀπὸ
τοῦ ἀγροῦ τῆς κατασχέσεως αὐτοῦ, ἁγιάσῃ τῷ
κυρίῳ, [23] καὶ λογιεῖται a) πρὸς αὐτὸν ὁ ἱερεὺς
τὸ τέλος b) τῆς τιμῆς ἐκ τοῦ ἐνιαυτοῦ τῆς ἀφέ-
σεως· καὶ ἀποδώσει τὴν τιμὴν ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ ἁγίαν τῷ κυρίῳ· [24] καὶ ἐν τῷ ἐνιαυ-
τῷ τῆς ἀφέσεως, c) ἀποδοθήσεται ὁ ἀγρὸς τῷ
ἀνθρώπῳ παρ' οὗ κέκτηται αὐτὸν, οὗ ἦν ἡ κα-
τάσχεσις τῆς γῆς· [25] καὶ πᾶσα τιμὴ ἔσται,
σταθμίοις ἁγίοις· εἴκοσι ὀβολοὶ ἔσται τὸ δί-
δραχμον d), [26] καὶ πᾶν πρωτότοκον, ὃ ἐὰν
γένηται ἐν τοῖς κτήνεσίν σου ἔσται τῷ κυρίῳ· καὶ
οὐκ ἀλλάξει οὐδεὶς αὐτὸ, ἐάντε μόσχον ἐάντε
πρόβατον τῷ κυρίῳ ἐστίν· [27] ἐὰν δὲ τῶν τε-
τραπόδων τῶν ἀκαθάρτων, ἀλλάξει e) κατὰ
τὴν τιμὴν αὐτοῦ, καὶ προσθήσει τὸ ἐπίπεμπτον
αὐτοῦ πρὸς αὐτὸ, καὶ ἔσται αὐτῷ· ἐὰν δὲ
μὴ λυτρῶται, πραθήσεται κατὰ τὸ τίμημα
αὐτοῦ· [28] πᾶν δὲ ἀνάθεμα, ὃ ἐὰν ἀνα-
θῇ f) ἄνθρωπος τῷ κυρίῳ, ἀπὸ παντὸς,
ὅσα αὐτῷ ἐστιν, ἀπὸ ἀνθρώπου ἕως κτήνους·
καὶ ἀπὸ ἀγροῦ κατασχέσεως αὐτοῦ, οὐκ ἀπο-
δώσεται, οὐδὲ λυτρώσεται· πᾶν ἀνάθεμα,
ἅγιον ἁγίων ἔσται τῷ κυρίῳ· [29] καὶ πᾶν ἀνά-
θεμα,

z) ἀγρὸς ἀναθέματος.
a) ψιφήσει.
b) τὸ πλῆρες.
c) ἐλευθερίας.
d) στάθμιον.
e) λυτρώσεται.
f) ἀναθεματίσει.

θεμα, ὃ ἐὰν ἀνατεθῇ ἀπὸ τῶν ἀνθρώπων, οὐ
λυτρωθήσεται, ἀλλὰ θανάτῳ θανατωθήσεται·
30 πᾶσα δεκάτη τῆς γῆς, ἀπὸ τοῦ σπέρματος
τῆς γῆς, καὶ ἀπὸ τοῦ καρποῦ τοῦ ξυλίνου g) τῷ
κυρίῳ ἐστὶν, ἅγιον τῷ κυρίῳ· 31 ἐὰν δὲ λυ-
τρούμενος λυτρῶται ἄνθρωπος τὴν δεκάτην αὐ-
τοῦ, τὸ ἐπίπεμπτον αὐτοῦ, προσθήσει ἐπ' αὐτὸ,
32 καὶ πᾶσα δεκάτη βοῶν καὶ προβάτων, καὶ
πᾶν ὃ ἐὰν διέλθῃ ἐν τῷ ἀριθμῷ ὑπὸ τὴν ῥά-
βδον, * τὸ δέκατον ἔσται ἅγιον τῷ κυρίῳ· οὐκ *93
ἐπισκέψεται h) ἀναμέσον καλοῦ καὶ πονηροῦ·
33 καὶ οὐκ ἀλλάξεις αὐτὸ, καλὸν πονηρῷ· οὐδὲ
πονηρὸν καλῷ· ἐὰν δὲ ἀλλάσσων ἀλλά-
ξῃς αὐτὸ, καὶ τὸ ἄλλαγμα αὐτοῦ, ἔσται ἅγιον,
οὐ λυτρωθήσεται· 34 Αὗται αἱ ἐντολαὶ ἃς
Ἐνετείλατο κύριος τῷ Μωϋσῇ πρὸς τοὺς υἱοὺς Ἰσρα-
ὴλ ἐν τῷ ὄρει Σινά·

g) δένδρου.

h) παραζητήσεις ἀναμέσον καλοῦ ἢ σαπροῦ οὐδὲ ἐκλέξηται αὐτό.

ΟΙ ΑΡΙΘΜΟΙ ΤΩΝ ΚΑΤΑΛΕΞΙΝ ΕΙCΙΝ ΞΑ

ΤΩΝ ΚΑΤΕΞΑΙΡΕΤΟΝ ΟΝΟΜΑΤΩΝ ΝΗ

ΛΕΥΙΤΙΚΟΝ